τέρπονται, σάργων τε γένος καὶ κόσσυφος αἴθων·
τοὶ δὲ μίαν στέργουσι καὶ ἀμφιέπουσιν ἄκοιτιν,
κάνθαροι αἰτναῖοί τε, καὶ οὐ πλεόνεσσι γάνυνται.

---

[a] A. 541 a 14 περὶ μὲν γὰρ τὴν τῆς ὀχείας ὥραν αἱ θήλειαι τοῖς ἄρρεσιν ἑπόμεναι . . . κόπτουσιν ὑπὸ τὴν γαστέρα τοῖς στόμασιν, οἱ δὲ θᾶττον προΐενται (τὸν θορὸν) καὶ μᾶλλον; Plin. ix. 157 femina piscis coitus tempore marem sequitur ventrem eius rostro pulsans.

[b] Plin. *l.c.* pisces attritu ventrium coeunt; A. *De gen.* 717 b 36 οἱ μὲν γὰρ ἰχθύες ὀχεύουσι παραπίπτοντες.

the shores, bringing doom to other fishes on which they feast; others again run before the shoals of females by whom they are pursued, since drawn by the passion of desire the females haste after the males [a] with rush incontinent. Then the males, rubbing belly against belly,[b] discharge behind them the moist milt; and the females, goaded by desire, rush to gobble [c] it up with their mouths; by such mating they are filled with roe. This is the most common custom among fishes, but others there are which have separate and apart their own beds and bridal chambers and wedded wives; for there is much Passion among fishes and Desire and Jealousy, that grievous god, and all that hot Love brings forth, when he stirs fierce tumult in the heart. Many quarrel with one another and fight over a mate, like unto wooers who about a bride gather many and well-matched and contend in wealth and beauty. These weapons the fish have not, but strength and jaws and sawlike teeth within: with these they enter the lists and arm themselves to win a mate; and he who excels with these, wins at once both victory and mate. And some delight in more mates than one to share their bed, to wit, the race of the Sargue [d] and the dusky Merle [e]; others love and attend a single mate, as the Black Sea-bream [f] and the Aetnaeus [g] and delight not in more than one.

[c] A. 541 a 11 *ἡ δὲ τῶν ᾠοτόκων ἰχθύων ὀχεία ἧττον γίνεται κατάδηλος· διόπερ οἱ πλεῖστοι νομίζουσι πληροῦσθαι τὰ θήλεα τῶν ἀρρένων ἀνακάπτοντα τὸν θορόν.*

[d] *C.* ii. 433 n. [e] *H.* iv. 173 n. [f] *H.* iii. 338 n.

[g] Ael. i. 13 *ὁ γοῦν αἰτναῖος οὕτω λεγόμενος, ἐπὰν τῇ ἑαυτοῦ συννόμῳ οἱονεὶ γαμέτῃ τινὶ συνδυασθεὶς κληρώσηται τὸ λέχος, ἄλλης οὐχ ἅπτεται*; *cf.* Phil. 53. Not identified.

Ἀλλ' οὐκ ἐγχελύεσσιν ὁμοίϊον οὔτε χελώναις
οὔτ' οὖν πουλυπόδεσσι γάμου τέλος οὔτε κελαινῇ
μυραίνῃ, λεχέων δὲ παράτροπον αἶσαν ἔχουσιν·
αἱ μὲν γὰρ σπειρηδὸν ἐν ἀλλήλῃσι χυθεῖσαι
ἐγχέλυες δέμας ὑγρὸν ἀναστρωφῶσι θαμειαὶ
πλεγνύμεναι, τάων δὲ κατείβεται εἴκελος ἀφρῷ
ἰχώρ, ἐν ψαμάθοις τε καλύπτεται· ἡ δέ μιν ἰλὺς
δεξαμένη κυέει τε καὶ ἐγχελύων τέκεν ὁλκούς.
τοίη καὶ γόγγροισιν ὀλισθηροῖσι γενέθλη.
Αἱ δὲ μέγα τρομέουσι καὶ ἐχθαίρουσι χελῶναι
ὃν γάμον· οὐ γὰρ τῇσιν ἐφίμερος οἷα καὶ ἄλλοις
τερπωλὴ λεχέων, πολὺ δὲ πλέον ἄλγος ἔχουσι·
σκληρὸν γὰρ μάλα κέντρον ἐν ἄρσεσιν εἰς Ἀφροδίτην,
ὀστέον οὐκ ἐπιεικτόν, ἀτερπέϊ θήγεται εὐνῇ.
τοὔνεκα μάρνανταί τε παλιγνάμπτοισί τ' ὀδοῦσιν
ἀλλήλους δάπτουσιν, ὅτε σχεδὸν ἀντιάσωσιν,
αἱ μὲν ἀλευόμεναι τρηχὺν γάμον, οἱ δ' ἀεκουσῶν
εὐνῆς ἱμείροντες ἑκούσιοι, εἰσόκεν ἀλκῇ
νικήσας ζεύξῃ μιν ἀναγκαίῃ φιλότητι,
ἠΰτε ληϊδίην, πολέμου γέρας. εἴκελα δ' εὐνῆς
ἔργα κυσὶ χθονίοισι καὶ εἰναλίῃσι χελώναις·
εἴκελα καὶ φώκῃσιν· ἐπεὶ μάλα δηρὸν ἕκαστοι
ἐξόπιθεν συνέχονται, ἀρηρότες ἠΰτε δεσμῷ.
Πουλύποδος δ' ὀλοοί τε γάμοι καὶ πικρὸς ὄλεθρος
συμφέρεται, ξυνὸν δὲ τέλος θανάτοιο καὶ εὐνῆς·

---

[a] *Anguilla vulgaris*, M.G. χέλυ. For generation of, A. 570 a 3 ff. αἱ δ' ἐγχέλυς οὔτ' ἐξ ὀχείας γίνονται οὔτ' ᾠοτοκοῦσιν, οὐδ' ἐλήφθη πώποτε οὔτε θορὸν ἔχουσα οὐδεμία οὔτ' ᾠά; Plin. ix. 160 anguiliae atterunt se scopulis; ea strigmenta vivescunt, nec alia est earum procreatio.

[b] Plin. ix. 73 longis et lubricis ut anguillis et congris.

[c] Ael. xv. 19; Plin. ix. 37 Quidam oculis spectandoque ova foveri ab his putant, feminas coitum fugere, donec mas

But neither Eels [a] nor Turtles nor Poulpes effect their mating in this fashion, nor the dark Muraena, but they have an unusual mode of union. Eels coil round one another and closely entwined they writhe their moist bodies, and from them a fluid like foam flows and is covered by the sands; and the mud receives it and conceives, and gives birth to the trailing Eel. Such also is the generation of the slippery [b] Conger.

The Turtles greatly fear and hate their mating; [c] for they have no delight or pleasure in union, as other creatures have, but they have far more pain. For the organ of the male is very hard, an unyielding bone, which is whetted in a joyless union. Therefore they fight and rend each other with their bent teeth, when they come together: the females seeking to avoid the rough mating, the males eager to mate, willing bridegrooms of unwilling brides; until the male by his strength prevails and makes her perforce his mate, like a captive bride, the prize of war. The mating of Dogs on land is similar to that of Turtles in the sea: similar also is that of Seals [d]; for all of those remain a long time coupled rearwards, fast bound as by a chain.

For the Poulpe [e] his deadly mating goes with bitter destruction and union consummated is con-

festucam aliquam imponat aversae. For mode of mating, A. 540 a 28 *τὰ μὲν γὰρ ἐπιβαίνοντα . . . οἷον χελώνη καὶ ἡ θαλαττία καὶ ἡ χερσαία*; Plin. ix. 158 Testudines in coitu superveniunt.

[d] A. 540 a 23 *ὀχεύεται δὲ καὶ ἡ φώκη καθάπερ τὰ ὀπισθουρητικὰ τῶν ζῴων καὶ συνέχονται ἐν τῇ ὀχείᾳ πολὺν χρόνον, ὥσπερ καὶ αἱ κύνες· ἔχουσι δὲ τὸ αἰδοῖον μέγα οἱ ἄρρενες*; Plin. ix. 41 (vitulus marinus) in coitu canum modo cohaeret.

[e] This passage is paraphrased Ael. vi. 28. *Cf.* A. 622 a 14 ff.; Athen. 316 c ff.

οὐ γὰρ πρὶν φιλότητος ἀπίσχεται οὐδ' ἀπολήγει,
πρίν μιν ἀπὸ μελέων προλίπῃ σθένος ἀδρανέοντα,
αὐτὸς δ' ἐν ψαμάθοισι πεσὼν ἀμενηνὸς ὄληται·
πάντες γάρ μιν ἔδουσιν, ὅσοι σχεδὸν ἀντιάσωσι,
καρκινάδες δειλαὶ καὶ καρκίνοι ἠδὲ καὶ ἄλλοι
ἰχθύες, οὓς πάρος αὐτὸς ἐδαίνυτο ῥεῖα μεθέρπων·
τοῖς ὑπὸ καὶ ζωός περ ἐὼν ἔτι κείμενος αὔτως,
οὐδὲν ἀμυνόμενος, δαιτρεύεται, ὄφρα θάνῃσι.
τοίῳ δυστερπεῖ φιλοτησίῳ ὄλλυτ' ὀλέθρῳ.
ὣς δ' αὔτως καὶ θῆλυς ὑπ' ὠδίνων μογέουσα
ὄλλυται· οὐ γὰρ τῇσιν ἀποκριδὸν οἷα καὶ ἄλλοις
ᾠὰ διαθρῴσκουσιν, ἀρηρότα δ' ἀλλήλοισι
βοτρυδὸν στεινοῖο μόγις διανίσσεται αὐλοῦ.
τοὔνεκα καὶ λυκάβαντος ὑπέρτερον οὔποτε μέτρον
πουλύποδες ζώουσιν· ἀποφθινύθουσι γὰρ αἰεὶ
αἰνοτάτοισι γάμοισι καὶ αἰνοτάτοισι τόκοισιν.
Ἀμφὶ δὲ μυραίνης φάτις ἔρχεται οὐκ ἀΐδηλος,
ὥς μιν ὄφις γαμέει τε καὶ ἐξ ἁλὸς ἔρχεται αὐτὴ
πρόφρων, ἱμείρουσα παρ' ἱμείροντα γάμοιο.
ἤτοι ὁ μὲν φλογέῃ τεθοωμένος ἔνδοθι λύσσῃ
μαίνεται εἰς φιλότητα καὶ ἐγγύθι σύρεται ἀκτῆς
πικρὸς ἔχις· τάχα δὲ γλαφυρὴν ἐσκέψατο πέτρην,
τῇ δ' ἔνι λοίγιον ἰὸν ἀπήμεσε, πάντα δ' ὀδόντων

[a] A. 622 a 25 ὅταν δὲ τὰ ᾠὰ ἐκτέκωσιν, οὕτω καταγηράσκειν καὶ ἀσθενεῖς γίνεσθαι ἀμφοτέρους φασὶν ὥστε ὑπὸ τῶν ἰχθυδίων κατεσθίεσθαι.

[b] A. 622 a 17 αἱ δὲ θήλειαι μετὰ τὸν τόκον . . . γίνονται μωραί κτλ.

[c] A. 544 a 8 τίκτει τὸ ᾠὸν καθάπερ βοστρύχιον ; 549 b 32 ὅμοιον βοστρυχίοις οἰνάνθης ; Athen. 316 e τίκτει ᾠὰ βοτρυδόν ; Plin. ix. 163 Polypi . . . pariunt vere ova tortili vibrata pampino.

[d] A. 550 b 13 ἔστι δὲ καὶ ὁ τεῦθος καὶ ἡ σηπία βραχύβιον. οὐ γὰρ διετίζουσιν, . . . ὁμοίως δὲ καὶ οἱ πολύποδες. *Cf.* A. 622 a 22 ; Athen. 323 ; Ael. *l.c.* ; Plin. ix. 93.

summated death : for he does not abstain or cease from his desire, until he is spent and strength forsakes his limbs and he himself falls exhausted on the sand and perishes. For all that come nigh devour[a] him—the timid Hermit-crab and the Crabs and other fishes which he himself formerly was wont to banquet on, easily stealing upon them ; by these he is now devoured, still alive but lying helplessly, and making no resistance, until he dies. By such a death, the sad fruit of desire, he perishes. And even so the female[b] likewise perishes, exhausted by the travail of birth. For their eggs do not issue forth separately, as with other fishes, but, clustered together like grapes,[c] they pass with difficulty through the narrow channel. Wherefore the Poulpes never live beyond the measure of a year[d] ; for always they perish by dreadest mating and dreadest travail of birth.

Touching the Muraena there is a not obscure report[e] that a Serpent mates with her, and that the Muraena herself comes forth from the sea willingly, eager mate to eager mate. The bitter Serpent, whetted by the fiery passion within him, is frenzied for mating and drags himself nigh the shore ; and anon he espies a hollow rock and therein vomits forth

[e] Plin. ix. 76 (Murenas) in sicca litora elapsas vulgus coitu serpentium impleri putat. Oppian's lines are paraphrased Ael. i. 50, ix. 66. *Cf.* Nicand. *T.* 823 ff. (with schol. *ad loc.*), whose lines are quoted by Athen. 312 d, where it is said that the story was rejected by Andreas but accepted by Sostratus ; Phil. 81. Hence the point of the lines of Matron the parodist *ap.* Athen. 136 b *μύραιναν δ' ἐπέθηκε φέρων . . . | ζώνην θ' ἣν φορέεσκεν . . . | εἰς λέχος ἠνίκ' ἔβαινε Δρακοντιάδῃ μεγαθύμῳ.* For Murena coming ashore, A. 543 a 28 ; Plin. ix. 73.

ἔπτυσε πευκεδανόν, ζαμενῆ χόλον, ὄλβον ὀλέθρου,
ὄφρα γάμῳ πρηΰς τε καὶ εὔδιος ἀντιάσειε.
στὰς δ' ἄρ' ἐπὶ ῥηγμῖνος ἑὸν νόμον ἐρροίζησε
κικλήσκων φιλότητα· θοῶς δ' ἐσάκουσε κελαινὴ
ἰϋγὴν μύραινα καὶ ἔσσυτο θᾶσσον ὀϊστοῦ.
ἡ μὲν ἄρ' ἐκ πόντοιο τιταίνεται, αὐτὰρ ὁ πόντου
ἐκ γαίης πολιοῖσιν ἐπεμβαίνει ῥοθίοισιν·
ἄμφω δ' ἀλλήλοισιν ὁμιλῆσαι μεμαῶτε
συμπεσέτην, ἔχιος δὲ κάρη κατέδεκτο χανοῦσα
νύμφη φυσιόωσα· γάμῳ δ' ἐπιγηθήσαντες
ἡ μὲν ἁλὸς πάλιν εἶσι μετ' ἤθεα, τὸν δ' ἐπὶ χέρσον
ὁλκὸς ἄγει, κρυερὸν δὲ πάλιν μεταχεύεται ἰὸν
λάπτων, ὃν πάρος ἧκε καὶ ἐξήφυσσεν ὀδόντων.
ἢν δ' ἄρα μή τι κίχῃ κεῖνον χόλον, ὅνπερ ὁδίτης,
ἀτρεκέως ἐσιδών μιν, ἀπέκλυσεν ὕδατι λάβρῳ,
αὐτὰρ ὅ γ' ἀσχαλόων ῥίπτει δέμας, εἰσόκε μοῖραν
λευγαλέοιο λάβῃσιν ἀνωϊστου θανάτοιο,
αἰδόμενος, ὅτ' ἄναλκις ὅπλων γένεθ' οἷς ἐπεποίθει,
ἔμμεν' ὄφις, πέτρῃ δὲ συνώλεσε καὶ δέμας ἰῷ.
Δελφῖνες δ' ἄνδρεσσιν ὁμῶς γάμον ἐντύνονται
μήδεά τ' ἀνδρομέοισι πανείκελα καρτύνονται·
οὐδ' αἰεὶ προφανὴς πόρος ἄρσενος, ἀλλά οἱ εἴσω
κέκρυπται, λεχέων δὲ κατὰ χρέος ἕλκεται ἔξω.
Τοῖαι μὲν φιλότητες ἐν ἰχθύσιν ἠδὲ καὶ εὐναί.
ἄλλος δ' ἀλλοίῃ λεχέων ἱμείρεται ὥρῃ,
καὶ γενεὴν προφέρει· τοῖς μὲν θέρος, οἷσι δὲ χεῖμα,
τοῖς δ' ἔαρ ἢ φθινύθουσα τόκον προὔφηνεν ὀπώρη.
καὶ τοὶ μὲν λυκάβαντι μίαν μογέουσι γενέθλην

[a] A. 540 b 22; *De gen.* 756 b 1; Plin. ix. 74.
[b] A. 570 a 25, 570 b 11 ff., 543 b 18 ff.; Plin. ix. 162.

his baneful venom, the fierce bile of his teeth, a deadly store, that he may be mild and serene to meet his bride. Standing on the shore he utters his hissing note, his mating call; and the dusky Muraena quickly hears his cry and speeds swifter than an arrow. She stretches her from the sea, he from the land treads the grey surf, and, eager to mate with one another, the two embrace, and the panting bride receives with open mouth the Serpent's head. Then, exulting over their union, she goes back again to her haunts in the sea, while he makes his trailing way to the land, where he takes in again his venom, lapping up that which before he shed and discharged from his teeth. But if he find not that bile—which some wayfarer, seeing it for what it is, has washed away with torrents of water—then indignant he dashes his body, till he finds the doom of a sad and unthought-of death, ashamed to be a Serpent when he is left defenceless of the weapons in which he trusted, and on the rock with his lost venom he loses his life.

Dolphins [a] mate after the manner of men, and the organs with which they are equipped are quite human-like; the male organ is not always visible but is hidden within and extended on occasion of mating.

Such are the loves and mating among fishes. And others at other season [b] they desire to mate and bring forth their young; for some summer, for some winter, for others spring or waning autumn brings birth. And some—the greatest part—are in travail of a single brood a year, but the Basse is twice [c]

[c] A. 542 b 32 *ὁμοίως δὲ καὶ τῶν ἰχθύων οἱ πλεῖστοι ἅπαξ (τίκτουσιν) οἷον οἱ χυτοί . . . πλὴν ὁ λάβραξ· οὗτος δὲ δὶς τούτων μόνος.* *Cf.* 567 b 18; Plin. ix. 162; Ael. x. 2; Athen. 310 f.

οἱ πλεῖστοι, λάβραξ δὲ δὶς ἄχθεται Εἰλειθυίαις·
τρίγλαι δὲ τριγόνοισιν ἐπώνυμοί εἰσι γονῇσι·
σκορπίος αὖ τετόρεσσι φέρει βέλος ὠδίνεσσι·
πέντε δὲ κυπρίνοισι γοναὶ μούνοισιν ἔασιν·
οἵου δ' οὔποτέ φασι γένος φράσσασθαι ὀνίσκου,
ἀλλ' ἔτι τοῦτ' ἄϊδηλον ἐν ἀνθρώποισι τέτυκται.
Εὖτ' ἂν δ' εἰαρινοῖο περιπλήθωσι γόνοιο
ἰχθύες ᾠοτόκοι, τοὶ μὲν κατὰ χῶρον ἕκαστοι
εὔκηλοι μίμνουσιν ἐνὶ σφετέροισι δόμοισι·
πολλοὶ δ' ἀγρόμενοι ξυνὴν ὁδὸν ὁρμώωνται
Εὔξεινον μετὰ πόντον, ἵν' αὐτόθι τέκνα τέκωνται.
κεῖνος γὰρ πάσης γλυκερώτερος Ἀμφιτρίτης
κόλπος, ἀπειρεσίοισι καὶ εὐύδροις ποταμοῖσιν
ἀρδόμενος, μαλακαὶ δὲ πολυψάμαθοί τ' ἐπιωγαί·
ἐν δέ οἱ εὐφυέες τε νομαὶ καὶ ἀκύμονες ἀκταὶ
πέτραι τε γλαφυραὶ καὶ χηραμοὶ ἰλυόεντες
ἄκραι τε σκιεραὶ καὶ ὅσ' ἰχθύσι φίλτατ' ἔασιν·
ἐν δέ οἱ οὔτε τι κῆτος ἀνάρσιον οὔτε τι πῆμα
ἐντρέφεται νεπόδεσσιν ὀλέθριον οὐδὲ μὲν ὅσσοι
δυσμενέες γεγάασιν ἐπ' ἰχθύσι βαιοτέροισιν

[a] A. 543 a 5 ἡ δὲ τρίγλη μόνη τρίς. Oppian derives τρίγλη from τρίς, cf. Ael. x. 2 τρίγλην δὲ καὶ τρὶς κύειν κατηγορεῖ, φασί, καὶ τὸ ὄνομα. Cf. ix. 51; Phil. 116; Athen. 334 d.

[b] But A. 543 a 7 ὁ σκορπίος τίκτει δίς; Plin. ix. 162 scorpaenae bis (anno pariunt); Athen. 320 e.

[c] A. 568 a 16 τίκτουσι δ' ἐν τῇ καθηκούσῃ ὥρᾳ κυπρῖνος μὲν πεντάκις ἢ ἑξάκις· ποιεῖται δὲ τὸν τόκον μάλιστα ἐπὶ τοῖς ἄστροις.

burdened by the pangs of birth; the Red Mullet gets its name Trigla from its triple brood [a]; the Scorpion again endures the pang of four labours; [b] the Carps alone bear five times; [c] and the Oniscus [d] is the only fish, they say, whose breeding no one has ever remarked, but that is still a mystery among men.

When in spring the oviparous fishes are full of roe, some of them remain quietly in their homes, each tribe in its own place; but many gather together and pursue a common path to the Euxine Sea,[e] that there they may bring forth their brood. For that gulf is the sweetest of all the sea, watered as it is by infinite rivers of abundant water; and it has soft and sandy bays; therein are goodly feeding-grounds and waveless shores and caverned rocks and silty clefts and shady headlands and all that fish most love; but no fierce Sea-monster inhabits there nor any deadly bane of the finny race nor any of those which prey upon the smaller fishes—no coiling

[d] Introd. p. lxiv.

[e] Black Sea. A. 598 a 30 *εἰσπλέουσι δ' εἰς τὸν Πόντον διά τε τὴν τροφήν (ἡ γὰρ νομὴ καὶ πλείων καὶ βελτίων διὰ τὸ πότιμον, καὶ τὰ θηρία δὲ τὰ μεγάλα ἐλάττω· ἔξω γὰρ δελφῖνος καὶ φωκαίνης* [Porpoise] *οὐδέν ἐστιν ἐν τῷ Πόντῳ καὶ ὁ δελφὶς μικρός· ἔξω δ' εὐθὺς προελθόντι μεγάλοι), διά τε δὴ τὴν τροφὴν εἰσπλέουσι καὶ διὰ τὸν τόκον· τόποι γάρ εἰσιν ἐπιτήδειοι ἐντίκτειν καὶ τὸ πότιμον καὶ τὸ γλυκύτερον ὕδωρ ἐκτρέφει τὰ κυήματα.* *Cf.* Ael. iv. 4, ix. 59; Plut. *Mor.* 981 D; Plin. ix. 49 f.; Arr. *Peripl. Eux. Pont.* c. viii.; A. 567 b 15 *ἐν τῷ Πόντῳ περὶ τὸν Θερμώδοντα ποταμὸν οἱ πλεῖστοι τίκτουσιν· νήνεμος γὰρ ὁ τόπος καὶ ἀλεεινὸς καὶ ἔχων ὕδατα γλυκέα*; A. *Meteor.* 354 a 16 *πλείους γὰρ εἰς τὸν Εὔξεινον ῥέουσι ποταμοὶ καὶ τὴν Μαιῶτιν ἢ τὴν πολλαπλασίαν χώραν αὐτῆς.*

ὁλκοὶ πουλυπόδων οὐδ' ἀστακοὶ οὐδὲ πάγουροι·
παῦροι μὲν δελφῖνες, ἀκιδνότεροι δὲ καὶ αὐτοὶ
κητείης γενεῆς καὶ ἀκήδεες ἐννεμέθονται.
τοὔνεκεν ἰχθύσι κεῖνο πέλει κεχαρισμένον ὕδωρ
ἐκπάγλως καὶ πολλὸν ἐπισπεύδουσι νέεσθαι.
στέλλονται δ' ἅμα πάντες ὁμιλαδόν, ἄλλοθεν ἄλλος
εἰς ἓν ἀγειρόμενοι, μία δέ σφισι πᾶσι κέλευθος
πομπή τε ῥιπή τε καὶ αὖ παλινόστιμος ὁρμή.
Θρηΐκιον δ' ἀνύουσι Βοὸς Πόρον αἰολόφυλοι
ἑσμοὶ Βεβρυκίην τε παρὲξ ἅλα καὶ στόμα Πόντου
στεινὸν ἀμειβόμενοι δολιχὸν δρόμον Ἀμφιτρίτης.
ὡς δ' ὅτ' ἀπ' Αἰθιόπων τε καὶ Αἰγύπτοιο ῥοάων
ὑψιπετὴς γεράνων χορὸς ἔρχεται ἠεροφώνων,
Ἄτλαντος νιφόεντα πάγον καὶ χεῖμα φυγοῦσαι

---

[a] A. 606 a 10 *ἐν μὲν τῷ Πόντῳ οὔτε τὰ μαλάκια γίνεται οὔτε τὰ ὀστρακόδερμα εἰ μὴ ἔν τισι τόποις ὀλίγα.* *Cf.* Plin. ix. 52; Ael. xvii. 10; Athen. 317 f *ἐν δὲ τῷ περὶ τῶν κατὰ τόπους διαφορῶν ὁ Θεόφραστος πολύποδας οὐ γίνεσθαί φησιν περὶ Ἑλλήσποντον. ψυχρὰ γὰρ ἡ θάλασσα αὕτη καὶ ἧττον ἁλμυρά, ταῦτα δ' ἀμφότερα πολέμια πολύποδι*; E. Forbes, *N.H. of the European Seas*, p. 203, "The deficiencies in the Black Sea fauna are remarkable. All those classes of Mollusca which, as we have seen, are but poorly represented in the Eastern Mediterranean as compared with the Western, are either here altogether wanting, or are of rarest occurrence, such as Cephalopods, Pteropods, and Nudibranchs. Echinoderms and Zoophytes are absent. The composition of the water is inimical to all these forms."

[b] *πόρον· ἤγουν τὸν Ἑλλήσποντον* schol., but the reference can hardly be other than to the strait of Byzantium (Constantinople) which connects the Propontis (Sea of Marmora) with the Euxine (Black Sea) and is regularly called the Thracian Bosporus: Strabo 125 *ἐκδίδωσι δ' αὕτη (ἡ Μαιῶτις λίμνη) μὲν εἰς Πόντον κατὰ τὸν Κιμμερικὸν καλούμενον Βόσπορον* (Strait of Kertch), *οὗτος δὲ κατὰ τὸν Θρᾴκιον εἰς τὴν Προποντίδα· τὸ γὰρ Βυζαντιακὸν στόμα οὕτω καλοῦσι Θρᾴκιον Βόσπορον, ὃ*

Poulpe nor Lobster nor Crab [a]; Dolphins, indeed, dwell there but few, and feebler even these than the Sea-monster breed and harmless. Wherefore to fishes that water is pleasant exceedingly and they greatly haste to come to it. All together they set forth in company, gathering to one place from their several haunts, and all have one path, one voyage, one course, even as again all have the same impulse of return. And the swarms of various tribe make the Thracian Ford of the Cow,[b] past the Bebrycian Sea [c] and the narrow mouth [d] of the Pontus traversing a long course of the ocean. And as when [e] from the Ethiopians and the streams of Egypt there comes the high-flying [f] choir of clanging Cranes,[g] fleeing from winter and the snowy Mount of Atlas [h] and the weak

τετραστάδιόν ἐστιν. *Cf.* Strab. 319, 566; Dion. P. 140 *Θρηικίου στόμα Βοσπόρου, ὅν πάρος Ἰὼ | Ἥρης ἐννεσίῃσιν ἐνήξατο πόρτις ἐοῦσα.* *ἀνύουσι*: Stat. *T.* vii. 439 Taurus init *fecitque vadum.*

[c] Sea of Marmora. The Bebryces are located in Mysia or eastward to Chalcedon. Dion. P. 805 *Βέβρυκες δ' ἐπὶ τοῖσι καὶ οὔρεα Μυσίδος αἴης*; Strab. 541.

[d] Dion. P. 142 *στεινότατος δὴ κεῖνος ἁπάντων ἔπλετο πορθμὸς | τῶν ἄλλων οἵ τ' εἰσὶ περικλύστοιο θαλάσσης*; Arr. *Peripl. Eux. Pont.* xii. 2 *καὶ ἔστι στενότατον ταύτῃ τὸ στόμα τοῦ Πόντου καλούμενον, καθ' ὅτι εἰσβάλλει ἐς τὴν Προποντίδα.*

[e] Hom. *Il.* iii. 3 ff. *ἠύτε περ κλαγγὴ γεράνων πέλει οὐρανόθι πρό, | αἵ τ' ἐπεὶ οὖν χειμῶνα φύγον καὶ ἀθέσφατον ὄμβρον, | κλαγγῇ ταί γε πέτονται ἐπ' Ὠκεανοῖο ῥοάων | ἀνδράσι Πυγμαίοισι φόνον καὶ κῆρα φέρουσαι.* But while Homer refers to the Southward migration about October (A. 599 a 24 *τοῦ Μαιμακτηριῶνος*, the signal for sowing, Hesiod, *W.* 448, Aristoph. *Av.* 710, Theocr. x. 31), Oppian means the N. migration in beginning of March. Momms. *Jahr.* p. 267; Milton, *P.L.* vii. 425 ff.

[f] *ὑψόθεν ἐκ νεφέων* Hesiod *l.c.*, *σύννομοι νεφέων δρόμου* Eur. *Hel.* 1488.

[g] *Grus cinerea*, M.G. *γερανός*, *γεράνι*, and *γορίλλα* in Attica. The much rarer *G. virgo* is mentioned as a summer visitor in the Cyclades, Erh. p. 54. [h] In N.W. Africa. Strabo 825.

Πυγμαίων τ᾿ ὀλιγοδρανέων ἀμενηνὰ γένεθλα·
τῇσι δ᾿ ἄρ᾿ ἱπταμένῃσι κατὰ στίχας εὐρέες ἑσμοὶ
ἠέρα τε σκιάουσι καὶ ἄλλυτον ὄγμον ἔχουσιν·
ὣς τότε μυριόφυλοι ἁλὸς τέμνουσι φάλαγγες
Εὔξεινον μέγα κῦμα· περιπλήθει δὲ θάλασσα
πυκνὸν ὑποφρίσσουσα λατυσσομένη πτερύγεσσιν,
εἰσόκ᾿ ἐπειγόμενοι δολιχὸν στόλον ἀμπαύσωσι
καὶ τόκον. ἀλλ᾿ ὅτε μέτρα παραστείχῃσιν ὀπώρης,
νόστου μιμνήσκονται, ἐπεὶ κρυερώτερον ἄλλων
χεῖμα κατασπέρχει κείνην ἅλα δινήεσσαν·
οὐ γὰρ τηλεβαθής, ῥέα δὲ στυφελίζετ᾿ ἀήταις,
οἵ μιν ἐπιρρήσσουσιν ὑπερφίαλοί τ᾿ ὀλοοί τε.
τοὔνεκ᾿ ἀλυσκάζοντες Ἀμαζονίης ἀπὸ λίμνης
αὖτις ὁμοῦ τεκέεσσιν ὑποτροπάδην φορέονται,
κίδνανται δ᾿ ἀνὰ πόντον, ὅπῃ θρέψονται ἕκαστοι.
Ἀλλ᾿ ὅσα μὲν μαλάκεια φατίζεται, οἷσί τ᾿ ἀναίμων

---

[a] A. 597 a 4 ff.; Strabo 35, etc.; Plin. x. 58.

[b] Their flight was in the form of a triangle (γεράνων τὴν ἐν τριγώνῳ πτῆσιν Plut. *Mor.* 979 B), the apex leading, the older birds in front and rear, the young in the middle. Ael. iii. 13; Plut. *Mor.* 967 C; Eur. *Hel.* 1478 ff.; Plin. x. 58.

[c] A. 598 b 6 ὅταν δὲ τέκωσι καὶ τὰ γενόμενα αὐξηθῇ, ἐκπλέουσιν εὐθὺς μετὰ Πλειάδα, *i.e.* after the heliacal rising of the Pleiades.

[d] E. Forbes, *op. cit.* p. 201 "Some of the rivers which discharge into the Black Sea take their rise in high latitudes, in districts annually covered with snow. These rivers also are annually frozen. Again, the winter temperature of the northern shores of this sea is such that coast ice forms there, as also in the Sea of Azof; and hence the waters of the Black Sea are much colder than those of the rest of the marine province to which it belongs. It is to the combined influence of composition and temperature that the great difference in the assemblage of animals in the Mediterranean and Black Seas must be attributed. The Black Sea is the

race of the feeble Pygmies [a]: as they fly in ordered ranks [b] their broad swarms shadow the air and keep unbroken line; even so in that season those myriad-tribed phalanxes of the sea plough the great waves of the Euxine; and the sea is full to overflowing and rough with the beating of many fins, till eagerly they win rest from their long journey and their spawning. But when the term of autumn [c] passes, they bethink them of their homeward way, since chillier [d] than all other is the winter that rages on that eddying sea; for it is not deep offshore [e] but is easily buffeted about by the winds which beat upon it violent and deadly. Wherefore they slip away from the Amazonian mere [f] and with their young travel home again, and scatter over the sea, each tribe to the place where they are to feed.

Now those which are called Molluscs,[g] whose

great ultimate estuary of the rivers which drain one-half of the European area."

[e] τηλεβαθής seems to be modelled on ἀγχιβαθής. For relative depths of different seas *cf.* A. *Meteor.* 354 a 19 καὶ τῆς μὲν Μαιώτιδος ὁ Πόντος (βαθύτερος), τούτου δὲ ὁ Αἰγαῖος, τοῦ δ' Αἰγαίου ὁ Σικελικός· ὁ δὲ Σαρδονικὸς καὶ ὁ Τυρρηνικὸς βαθύτατοι πάντων.

[f] The schol. hesitate between the Euxine (Black Sea) and the Λίμνη Μαιῶτις (Sea of Azov).

[g] In the Aristotelian sense, *i.e.* Cephalopods or Cuttles: A. 523 b 1 περὶ δὲ τῶν ἀναίμων ζῴων νυνὶ λεκτέον. ἔστι δὲ γένη πλείω, ἓν μὲν τὸ τῶν καλουμένων μαλακίων· ταῦτα δ' ἐστὶν ὅσα ἄναιμα ὄντα ἐκτὸς ἔχει τὸ σαρκῶδες, ἐντὸς δ' εἴ τι ἔχει στερεόν . . . οἷον τὸ τῶν σηπιῶν γένος. Aristotle divides the ἄναιμα or bloodless animals (Invertebrates) into μαλάκια (Cephalopods), μαλακόστρακα (Crustaceans), ἔντομα (Insects, Arachnidae, Worms), ὀστρακόδερμα (Mussels, Snails, Ascidians, Holothurians, Actinia, Sponges). His μαλάκια or "Molluscs" are: βολίταινα or ὄζολις, ἐλεδώνη, ναυτίλος πολύπους (3 species), σηπία, τευθίς, τεῦθος. *Cf.* Ael. xi. 37; Plin. ix. 83 Mollia sunt loligo, sepia, polypus et cetera generis eius.

ἐστὶ φυὴ μελέων καὶ ἀνόστεος, ὅσσα τε φῦλα
ἢ λεπίσιν πυκινῇσι καλύπτεται, ἢ φολίδεσσι
φρακτά, τὰ δ' ᾠοφόροισιν ὁμῶς ᾠδῖσι μέλονται·
ἐκ δὲ κυνὸς λάβροιο καὶ αἰετοῦ ὅσσα τε φῦλα
κλήζονται σελάχεια καὶ ἰχθυνόμων βασιλήων
δελφίνων φώκης τε βοώπιδος αὐτίκα παῖδες
ἐκ γενετῆς ἀνέχουσιν ἐοικότες οἷσι τοκεῦσιν.
  Οἵ δ' ἤ τοι πάντες μέν, ὅσοι ναίουσι θάλασσαν
ζωοτόκοι, φιλέουσι καὶ ἀμφιέπουσι γενέθλην,
δελφίνων δ' οὔπω τι θεώτερον ἄλλο τέτυκται·
ὡς ἐτεὸν καὶ φῶτες ἔσαν πάρος ἠδὲ πόληας

---

[a] A. *Part. an.* 654 a 9 *τὰ δ' ἔντομα τῶν ζῴων καὶ τὰ μαλάκια . . . οὐδὲν . . . ὀστῶδες ἔχειν ἔοικεν οὐδὲ γεηρὸν ἀποκεκριμένον, ὅτι καὶ ἄξιον εἰπεῖν, ἀλλὰ τὰ μὲν μαλάκια σχεδὸν ὅλα σαρκώδη καὶ μαλακά.*

[b] For the distinction between *λεπιδωτά* and *φολιδωτά cf.* A. 505 a 20 ff. *ἔτι δὲ πρὸς τἆλλα ζῷα οἱ ἰχθύες διαφέρουσι . . .· οὔτε γὰρ ὥσπερ τῶν πεζῶν ὅσα ζῳοτόκα ἔχει τρίχας, οὔθ' ὥσπερ ἔνια τῶν ᾠοτοκούντων τετραπόδων φολίδας, οὔθ' ὡς τὸ τῶν ὀρνέων γένος πτερωτόν, ἀλλ' οἱ μὲν πλεῖστοι αὐτῶν λεπιδωτοί εἰσιν, ὀλίγοι δέ τινες τραχεῖς, ἐλάχιστον δ' ἐστὶ πλῆθος αὐτῶν τὸ λεῖον. τῶν μὲν οὖν σελαχῶν τὰ μὲν τραχέα ἐστί, τὰ δὲ λεῖα, γόγγροι δὲ καὶ ἐγχέλυες καὶ θύννοι τῶν λείων.* For distinction between *λεπίς* and *φολίς cf.* A. 490 b 22, etc. The *λεπιδωτοί* thus include the great majority of fishes, while the *φολιδωτοί* include Snakes (*ἄποδα ᾠοτόκα φολιδωτά*)—only the Viper (*ἔχις*) being viviparous (A. 511 a 16)—Lizards and Tortoises (*τετράποδα ᾠοτόκα φολιδωτά*). *Cf.* Ael. xi. 37 *φολιδωτὰ δὲ σαῦρος, σαλαμάνδρα, χελώνη, κροκόδειλος, ὄφις. ταῦτα δὲ καὶ τὸ γῆρας ἀποδύεται, πλὴν κροκοδείλου καὶ χελώνης.*

[c] For *μαλάκια cf.* A. 549 b 27 *τὰ δὲ μαλάκια ἐκ τοῦ συνδυασμοῦ καὶ τῆς ὀχείας ᾠὸν ἴσχει λευκόν.* For *λεπιδωτοί cf.* A. 505 b 2 *εἰσὶ δ' αὐτῶν* (*sc. τῶν ἰχθύων οἱ μὲν ᾠοτόκοι οἱ ζῳοτόκοι, οἱ μὲν λεπιδωτοὶ πάντες ᾠοτόκοι τὰ δὲ σελάχη πάντα ζῳοτόκα πλὴν βατράχου.* For *φολιδωτά cf.* A. *Part. an.* 733 a 6 *οἱ μὲν γὰρ ὄρνιθες καὶ τὰ φολιδωτὰ . . . ᾠοτοκοῦσι.*

limbs are bloodless and boneless,[a] and those tribes that are covered with close-set scales or armed with scutes,[b] are all alike oviparous [c]; but from the fierce Dog-fish [d] and the Eagle-ray [e] and all the tribes that are called Selachians [f] and from the kingly Dolphins [g] which lord it among fishes and from the ox-eyed Seal [h] spring children who straightway from birth are like their parents.

Now all the viviparous denizens of the sea love and cherish their young but diviner than the Dolphin is nothing yet created; for indeed they were aforetime men and lived in cities along with mortals, but

[d] κύων is here either generic, as in *H.* i. 373, or, if specific, is as unidentifiable as in A. 566 a 30 ff. *οἱ μὲν οὖν γαλεοὶ καὶ οἱ γαλεοειδεῖς, οἷον ἀλώπηξ καὶ κύων* [the only case in Aristotle of κύων in sing. in connexion with Dog-fish] *καὶ οἱ πλατεῖς ἰχθύες . . . ζῳοτοκοῦσιν ᾠοτοκήσαντες.*

[e] *Myliobatis aquila*, M.G. ἀετός. A. 540 b 18.

[f] *i.e.* cartilaginous fishes, the Sharks and Rays. A. 511 a 5 *καλεῖται δὲ σέλαχος ὃ ἂν ἄπουν ὂν καὶ βράγχια ἔχον ζῳοτόκον ᾖ.* *Cf.* Hesych. *s.* σελάχιον. Aristotle's Selachians are (1) *προμήκη* (A. 505 a 5) or *γαλεώδη*, Sharks and Dog-fishes; *ἀκανθίας, ἀλώπηξ ἀστερίας, γαλεὸς ὁ λεῖος, κύων, σκύλια*, (2) *πλατέα καὶ κερκοφόρα* (A. 489 b 31, 540 b 8), the Rays; *ἀετός, βατίς, βάτος, βοῦς, λάμια, λειόβατος, νάρκη, ῥινόβατος· τρυγών.* Among the Selachians he includes also *βάτραχος* (see *H.* ii. 86 n.) and *ῥίνη* (see *H.* i. 742 n.). In saying that the Selachians are viviparous Oppian is following Aristotle, who makes *ζῳοτόκον* part of his definition of *σέλαχος* (see above). *Cf.* A. 505 b 3 *τὰ δὲ σελάχη πάντα ζῳοτοκεῖ πλὴν βατράχου*; 564 b 12 *ζῳοτοκεῖ δὲ τὰ σελάχη πρότερον ᾠοτοκήσαντα ἐν αὑτοῖς καὶ ἐκτρέφουσιν ἐν αὑτοῖς πλὴν βατράχου*; *De gen.* 754 a 23 *τὰ δὲ καλούμενα σελάχη τῶν ἰχθύων ἐν αὑτοῖς μὲν ᾠοτοκεῖ τέλειον ᾠὸν ἔξω δὲ ζῳοτοκεῖ, πλὴν ἑνὸς ὃν καλοῦσι βάτραχον· οὗτος δὲ ᾠοτοκεῖ θύραζε τέλειον ᾠὸν μόνος*; Plin. ix. 78 cum ceteri pisces ova pariant, hoc genus (*sc.* cartilaginea = σελάχη) solum ut ea quae cete appellant animal parit excepta quam ranam vocant.

[g] A. 504 b 21, etc.

[h] A. 489 a 35, etc.

ναῖον ὁμοῦ μερόπεσσι, Διωνύσοιο δὲ βουλῇ
πόντον ὑπημείψαντο καὶ ἰχθύας ἀμφεβάλοντο
γυίοις· ἀλλ' ἄρα θυμὸς ἐναίσιμος εἰσέτι φωτῶν
ῥύεται ἀνδρομέην ἠμὲν φρόνιν ἠδὲ καὶ ἔργα.
εὖτε γὰρ ὠδίνων δίδυμον γένος ἐς φάος ἔλθῃ,
αὐτίχ' ὁμοῦ τ' ἐγένοντο περὶ σφετέρην τε τεκοῦσαν
νηχόμενοι σκαίρουσι καὶ ἐνδύνουσιν ὀδόντων
εἴσω καὶ μητρῷον ὑπὸ στόμα δηθύνουσιν·
ἡ δὲ φιλοφροσύνῃσιν ἀνίσχεται ἀμφί τε παισὶ
στρωφᾶται γανόωσα καὶ ἔξοχα καγχαλόωσα.
μαζὸν δ' ἀμφοτέροισι παρίσχεται, οἷον ἑκάστῳ,
θήσασθαι γάλα λαρόν· ἐπεί ῥά οἱ ὤπασε δαίμων
καὶ γάλα καὶ μαζῶν ἰκέλην φύσιν οἷα γυναικῶν.
τόφρα μὲν οὖν τοίῃσι τιθηνείῃσι μέμηλεν·
ἀλλ' ὅτε κουρίζωσιν ἑὸν σθένος, αὐτίκα τοῖσι
μήτηρ ἡγήτειρα κατέρχεται εἰς ὁδὸν ἄγρης
ἱεμένοις θήρην τε διδάσκεται ἰχθυόεσσαν,
οὐδὲ πάρος τεκέων ἑκὰς ἵσταται οὐδ' ἀπολείπει,
πρίν γ' ὅταν ἡβήσωσι τελεσφόρα γυῖα καὶ ἀλκήν,
ἀλλ' αἰεὶ ῥυτῆρες ἐπίσκοποι ἐγγὺς ἕπονται.
οἷον δὴ τότε θαῦμα μετὰ φρεσὶ θηήσαιο
τερπωλήν τ' ἐρόεσσαν, ὅτε πλώων ἐσίδηαι
αὔρῃ ἐν εὐκραεῖ δεδοκημένος ἠὲ γαλήνῃ
δελφίνων ἀγέλας εὐειδέας, ἵμερον ἅλμης·
οἱ μὲν γὰρ προπάροιθεν ἀολλέες ἠΰτε κοῦροι

---

[a] The story is variously told (*cf.* schol.). The version of Apollod. iii. 5 is: Wishing to cross from Icaria to Naxos, Dionysus hired a vessel of some Tyrrhenian pirates. Putting him on board, they sailed past Naxos and made all speed for Asia, with a view to selling him. He then turned mast and sails into snakes and filled the ship with ivy and the

by the devising of Dionysus[a] they exchanged the land for the sea and put on the form of fishes[b]; but even now the righteous spirit of men in them preserves human thought and human deeds. For when the twin[c] offspring of their travail come into the light, straightway, soon as they are born they swim and gambol round their mother and enter within her teeth and linger in the maternal mouth; and she for her love suffers them and circles about her children gaily and exulting with exceeding joy. And she gives them her breasts,[d] one to each, that they may suck the sweet milk; for god has given her milk and breasts of like nature to those of women. Thus for a season she nurses them; but, when they attain the strength of youth, straightway their mother leads them in their eagerness to the way of hunting and teaches them the art of catching fish; nor does she part from her children nor forsake them, until they have attained the fulness of their age in limb and strength, but always the parents attend[e] them to keep watch and ward. What a marvel shalt thou contemplate in thy heart and what sweet delight, when on a voyage, watching when the wind is fair and the sea is calm, thou shalt see the beautiful herds of Dolphins, the desire of the sea; the young go before in a troop like youths unwed, even as if

noise of flutes. The pirates, becoming mad, threw themselves into the sea and became Dolphins. *Cf.* Hom. *H.* vii.

[b] *Cf. C.* iii. 16.

[c] A. 566 b 6 *τίκτει δ' ὁ μὲν δελφὶς τὰ μὲν πολλὰ ἕν, ἐνίοτε δὲ καὶ δύο*; Plin. ix. 21; Ael. i. 18; Phil. 86.

[d] A. 521 b 23 *τὰ κήτη, οἷον δελφὶς καὶ φώκη καὶ φάλαινα· καὶ γὰρ ταῦτα μαστοὺς ἔχει καὶ γάλα.* *Cf.* A. 504 b 22, 566 b 16; Ael. v. 4; Plin. ix. 7.

[e] A. 566 b 22 *παρακολουθεῖ δὲ τὰ τέκνα πολὺν χρόνον, καὶ ἔστι τὸ ζῷον φιλότεκνον*; Plin. *l.c.*

ἠΐθεοι στείχουσι, νέον γένος, ὥστε χοροῖο
κύκλον ἀμειβόμενοι πολυειδέα ποικιλοδίνην·
τοὶ δ' ὄπιθεν μεγάλοι τε καὶ ἔξοχοι οὐδ' ἀπάτερθεν
ἔρχονται τεκέων, φρουρὸς στρατός, ὥσθ' ἁπαλοῖσι
φερβομένοις ἕσπονται ἐν εἴαρι ποιμένες ἀμνοῖς.
ὡς δ' ὅτε μουσοπόλων ἔργων ἄπο παῖδες ἴωσιν
ἀθρόοι, οἱ δ' ἄρ' ὄπισθεν ἐπίσκοποι ἐγγὺς ἕπονται
αἰδοῦς τε πραπίδων τε νόου τ' ἐπιτιμητῆρες
πρεσβύτεροι· γῆρας γὰρ ἐναίσιμον ἄνδρα τίθησιν·
ὣς ἄρα καὶ δελφῖνες ἑοῖς παίδεσσι τοκῆες
ἕσπονται, μή τί σφιν ἀνάρσιον ἀντιβολήσῃ.
Ναὶ μὴν καὶ φώκη κομέει γένος οὔτι χέρειον·
καὶ γὰρ τῇ μαζοί τε καὶ ἐν μαζοῖσι γάλακτος
εἰσὶ ῥοαί· τῇ δ' οὔτι μετ' οἴδμασιν ἀλλ' ἐπὶ χέρσου
λύετ' ἀνερχομένῃ γαστρὸς μόγος, ὥριος ὠδίς·
μίμνει δ' ἤματα πάντα δυώδεκα σὺν τεκέεσσιν
αὐτοῦ ἐνὶ τραφερῇ· τρισκαιδεκάτῃ δὲ σὺν ἠοῖ
σκύμνους ἀγκὰς ἔχουσα νεαλδέας εἰς ἅλα δύνει,
παισὶν ἀγαλλομένη, πάτρην ἅτε σημαίνουσα.
ὡς δὲ γυνὴ ξείνης γαίης ἔπι παῖδα τεκοῦσα
ἀσπασίως πάτρην τε καὶ ὃν δόμον εἰσαφικάνει,
παῖδα δ' ἐν ἀγκοίνῃσι πανημερίῃ φορέουσα,
δώματα δεικνυμένη, μητρὸς νομόν, ἀμφαγαπάζει,
τερπωλὴν ἀκόρεστον· ὁ δ' οὐ φρονέων περ ἕκαστα
παπταίνει, μέγαρόν τε καὶ ἤθεα πάντα τοκήων·
ὣς ἄρα καὶ κείνη σφέτερον γένος εἰναλίη θὴρ

[a] The reference is to children attended from school by their paedagogus. Schol. μουσοπόλων· ἢ σχολῆς, ἀπὸ τῶν σχολείων . . . ἐπίσκοποι· οἱ παιδαγωγοί. *Cf.* Hor. *S.* i. 6. 81 Ipse mihi custos incorruptissimus omnes | Circum doctores aderat.

they were going through the changing circle of a mazy dance; behind and not aloof their children come the parents great and splendid, a guardian host, even as in spring the shepherds attend the tender lambs at pasture. As when from the works of the Muses [a] children come trooping while behind there follow, to watch them and to be censors of modesty and heart and mind, men of older years: for age makes a man discreet; even so also the parent Dolphins attend their children, lest aught untoward encounter them.

Yea and the Seal also tends her young no less well; for she too has breasts, and in the breasts streams of milk.[b] But not amid the waves but when she comes up on the dry land [c] is she delivered of the burden of her womb in seasonable travail. For twelve days in all she remains with her children there upon the dry land; but with the thirteenth [d] dawn she takes in her arms her young cubs and goes down into the sea, glorying in her children and showing them, as it were, their fatherland. Even as a woman that has borne a child in an alien land comes gladly to her fatherland and to her own home; and all day long she carries her child in her arms and hugs him while she shows him the house, his mother's home, with sateless delight; and he, though he does not understand, gazes at each thing, the hall and the haunts of his parents; even so that wild thing of the sea

[b] A. 567 a 2 *μαστοὺς δ' ἔχει δύο καὶ θηλάζεται ὑπὸ τῶν τέκνων καθάπερ τὰ τετράποδα*; Plin. ix. 41.

[c] A. 566 b 28 *τίκτει ἐν τῇ γῇ μέν, πρὸς αἰγιαλοῖς δέ*; Ael. ix. 9; Plin. ix. 41.

[d] A. 567 a 5 *ἄγει δὲ περὶ δωδεκαταῖα ὄντα τὰ τέκνα εἰς τὴν θάλατταν πολλάκις τῆς ἡμέρας, συνεθίζουσα κατὰ μικρόν*; Plin. *l.c.*: Ael. *l.c.*

ἐς πόντον προφέρει καὶ δείκνυται ἔργα θαλάσσης.
Δαίμονες, οὐκ ἄρα μοῦνον ἐν ἀνδράσι τέκνα πέλονται
φίλτατα, καὶ φάεος γλυκερώτερα καὶ βιότοιο,
ἀλλὰ καὶ οἰωνοῖσιν ἀμειλίκτοισί τε θηρσὶν
ἰχθύσι τ' ὠμηστῇσιν ἀμήχανος αὐτοδίδακτος
ἐντρέφεται τεκέων δριμὺς πόθος· ἀμφὶ δὲ παισὶ
καὶ θανέειν καὶ πᾶσαν ὀϊζυρὴν κακότητα
πρόφρονες, οὐκ ἀέκοντες, ἀναπλῆσαι μεμάασιν.
ἤδη τις κατ' ὄρεσφιν ἐριβρύχην ἐνόησε
θηρητὴρ τεκέεσσιν ὑπερβεβαῶτα λέοντα,
μαρνάμενον σφετέρης γενεῆς ὕπερ· οὐδ' ὅ γε πυκνῆς
χερμάδος ἱπταμένης οὐδ' αἰγανέης ἀλεγίζει,
ἀλλ' αὔτως ἄτρεστον ἔχει θάρσος τε μένος τε,
βαλλόμενος καὶ ἐρεικόμενος πάσῃσι βολῇσιν·
οὐδ' ὅ γε πρὶν θανέειν ἀναδύεται, ἀλλ' ἐπὶ παισὶν
ἡμιθανὴς προβέβηκε, μέλει δέ οἱ οὔτι μόροιο
τόσσον, ὅσον μὴ παῖδας ὑπ' ἀγρευτῆρσιν ἰδέσθαι
ἑρχθέντας θήρειον ὑπ' αὐτοκμῆτα καλιήν.
ἤδη δ' ἀρτιτόκοιο κυνὸς σκυλακοτρόφῳ εὐνῇ
ποιμὴν ἐγχρίμψας, εἰ καὶ πάρος ἦεν ἑταῖρος,
χάσσατο, ταρβήσας μητρὸς χόλον ὑλακόεντα,
οἷον ὑπὲρ τεκέων προφυλάσσεται, οὐδέ τιν' αἰδῶ
γιγνώσκει, πᾶσιν δὲ πέλει κρυόεσσα πελάσσαι.
οἷον δ' ἑλκομένας περὶ πόρτιας ἀσχαλόωσαι
μητέρες οὐκ ἀπάτερθε γυναικείων στενάχουσι
κωκυτῶν, αὐτοὺς δὲ συναλγύνουσι νομῆας.
καὶ μέν τις φήνης ἀδινὸν γόον ἔκλυεν ἀνὴρ
ὄρθριον ἀμφὶ τέκεσσ', ἢ ἀηδόνος αἰολοφώνου,

[a] Hom. *Il.* xvii. 133 ἑστήκει ὥς τίς τε λέων περὶ οἷσι τέκεσσιν | ᾧ ῥά τε νήπι' ἄγοντι συναντήσωνται ἐν ὕλῃ | ἄνδρες ἐπακτῆρες.

brings her children to the water and shows them all the works of the deep.

Ye gods, not alone then among men are children very dear, sweeter than light or life, but in birds also and in savage beasts and in carrion fishes there is inbred, mysterious and self-taught, a keen passion for their young, and for their children they are not unwilling but heartily eager to die and to endure all manner of woeful ill. Ere now on the hills a hunter has seen a roaring Lion bestriding his young, fighting in defence of his offspring; [a] the thick hurtling stones he heeds not nor recks of the hunter's spear but all undaunted keeps heart and spirit, though hit and torn by all manner of wounds; nor will he shrink from the combat till he die, but even half-dead he stands over his children to defend them, and not so much does he mind death as that he should not see his children in the hands of the hunters, penned in the rude [b] wild-beast den. And ere now a shepherd, approaching the kennel where a bitch nursed her new-born whelps,[c] even if he were acquainted with her before, has drawn back in terror at her yelping wrath; so fiercely she guards her young and has no regard for any but is fearful of approach for all. How, too, around calves when they are dragged away do their grieving mothers make lament, not unlike the mourning of women, causing the very herdsmen to share their pain. Yea and a man hears at morn the shrill plaint for her children of Gier [d] or many-noted Nightingale, or in the spring

[b] Schol. *αὐτοκμῆτα· . . . αὐτοφυῆ ἢ τὸ σπήλαιον λέγει τοῦ λέοντος.* *Cf.* *αὐτόκτιτ' ἄντρα* Aesch. *P. V.* 303.

[c] Hom. *Od.* xx. 14 *ὡς δὲ κύων ἀμαλῆσι περὶ σκυλάκεσσι βεβῶσα | ἄνδρ' ἀγνοιήσασ' ὑλάει μέμονέν τε μάχεσθαι.*

[d] *C.* iii. 116 n.

ἠὲ καὶ εἰαρινῇσι χελιδόσιν ἐγγὺς ἔκυρσε
μυρομέναις ἑὰ τέκνα, τά τε σφίσι ληΐσσαντο
ἐξ εὐνῆς ἢ φῶτες ἀπηνέες ἠὲ δράκοντες.
ἰχθύσι δ' αὖ δελφὶς μὲν ἀριστεύει φιλότητι
παίδων, ὣς δὲ καὶ ἄλλοι ἑὸν γένος ἀμφιέπουσι.
Θαῦμα δ' ἀλιπλάγκτοιο κυνὸς τόδε· τῇ γὰρ ἕπονται
τέκνα νεοβλαστῆ καί σφιν σάκος ἔπλετο μήτηρ·
ἀλλ' ὅτε ταρβήσωσι τά τ' ἄσπετα δείματ' ἔασιν
ἐν πόντῳ, τότε παῖδας ἔσω λαγόνεσσιν ἔδεκτο
αὐτὴν εἰσίθμην, αὐτὴν ὁδόν, ἔνθεν ὄλισθον
γεινόμενοι· τοῖον δὲ πόνον μογέουσά περ ἔμπης
ἀσπασίως τέτληκε, πάλιν δ' ὑπεχεύατο παῖδας
σπλάγχνοις, ἂψ δ' ἀνέηκεν, ὅτ' ἀμπνεύσωσι φόβοιο.
Τοίην καὶ ῥίνη τεκέων πορσύνεται ἀλκήν,
ἀλλ' οὐκ εἰς νηδὺν κείνῃ δύσις, οἷα κύνεσσιν,
ἀλλά οἱ ἐν πλευρῇσι διασφάγες ἀμφοτέρωθεν
εἰσὶν ὑπὸ πτερύγων, οἵη γένυς ἰχθύσιν ἄλλοις,
τῇσιν ἀτυζομένων τέκνων φόβον ἀμφικαλύπτει.
Ἄλλοι δ' αὖθ' ἑὰ τέκνα διὰ στόμα ταρβήσαντα
δεξάμενοι ῥύονται ἄτ' ἐς δόμον ἠὲ καλιήν·
οἷον δὴ καὶ γλαῦκος, ὃς ἔξοχα τέκν' ἀγαπάζει
πάντων, ὅσσοι ἔασιν ἐν ἰχθύσιν ᾠοτοκῆες·
κεῖνος γὰρ μίμνει τε παρήμενος, ὄφρα γένωνται

[a] Ael. i. 17 *κύων δὲ θαλαττία τεκοῦσα ἔχει συννέοντα τὰ σκυλάκια ἤδη καὶ οὐκ εἰς ἀναβολάς· ἐὰν δὲ δείσῃ τι τούτων, εἰς τὴν μητέρα εἰσέδυ αὖθις κατὰ τὸ ἄρθρον· εἶτα, τοῦ δέους παραδραμόντος, τὸ δὲ πρόεισιν, ὥσπερ οὖν ἀνατικτόμενον αὖθις*; A. 565 b 23 *οἱ μὲν οὖν ἄλλοι γαλεοὶ καὶ ἐξαφιᾶσι καὶ δέχονται εἰς ἑαυτοὺς τοὺς νεοττούς, . . . ὁ δ' ἀκανθίας οὐκ εἰσδέχεται μόνος τῶν γαλεῶν διὰ τὴν ἄκανθαν.* *Cf.* Athen. 294 e; Plut. *Mor.* 982 a; Antig. 21; Phil. 91. In A. *l.c.* the *ῥίνη* and the *νάρκη* are said to take in their young, while the *τρυγών* and the *βάτος* among the

chances on the Swallows wailing for their young, which cruel men or snakes have harried from the nest. Among fishes again the Dolphin is first in love for its children, but others likewise care for their young.

Here is the marvel of the sea-roaming Dog-fish.[a] Her new-born brood keep her company and their mother is their shield ; but when they are affrighted by any of the infinite terrors of the sea, then she receives her children within her loins by the same entry,[b] the same path, by which they glided forth when they were born. And this labour, despite her pain, she endures gladly, taking her children back within her body and putting them forth again when they have recovered from their fear.

A like defence also does the Angel-shark [c] furnish for her young ; but it is not into her womb that her children enter, as with the Dog-fish, but on either side below her fins she has slits, like the jaws of other fishes, wherewith she covers the terror of her frightened children.

Others again protect their children by taking them into the mouth as it were into a house or nest ; as, for example, the Glaucus [d] which loves its children beyond all other fishes that are oviparous. For it both remains sitting by until the young come forth

Rays (τῶν πλατέων) do not διὰ τὴν τραχύτητα τῆς κέρκου, as neither does the βάτραχος, διὰ τὸ μέγεθος τῆς κεφαλῆς καὶ τὰς ἀκάνθας (*cf. De gen.* 754 a 29). Even the Dolphin and the Porpoise εἰσδέχονται τὰ τέκνα μικρὰ ὄντα A. 566 b 17.

[b] Ael. i. 17 ; but Aristotle doubtless meant "by the mouth," *cf.* Athen. *l.c.* εἰς τὸ στόμα ; Plut. *l.c.* διὰ τοῦ στόματος ; Antig. *l.c.* κατὰ τὸ στόμα.

[c] *H.* i. 381 n. ; A. 565 b 25 says the ῥίνη takes in its young, mode not indicated.

[d] Introduction, p. lxi.

παῖδες ὑπωάδιοι, καί σφιν παρανήχεται αἰεί·
τοὺς δ' ὅτε κεν τρομέοντας ἴδῃ κρατερώτερον ἰχθύν,
ἀμφιχανὼν κατέδεκτο διὰ στόμα, μέσφα κε δεῖμα
χάσσηται, τότε δ' αὖτις ἀνέπτυσε λευκανίηθεν.
Θύννης δ' οὔτιν' ἔγωγ' ἀθεμίστερον ἔλπομαι ἰχθὺν
οὐδὲ κακοφροσύνῃ προβεβηκότα ναιέμεν ἅλμην·
ᾠὰ γὰρ εὖτε τέκῃσι, φύγῃ δ' ὠδῖνα βαρεῖαν,
αὐτὴ γειναμένη καταδαίνυται ὅσσα κίχῃσι,
νηλής, ἥ θ' ἑὰ τέκνα φυγῆς ἔτι νηῗδ' ἐόντα
ἐσθίει, οὐδέ μιν οἶκτος ἐσέρχεται οἷο τόκοιο.
Ἔστι δ' ὅσ' οὔτε γάμοισι φυτεύεται οὔτε γονῇσι
τίκτεται, αὐτοτέλεστα καὶ αὐτόρρεκτα γένεθλα,
ὄστρεα δὴ σύμπαντα, τά γ' ἰλύϊ τίκτεται αὐτῇ·
κείνων δ' οὔτε τι θῆλυ πέλει γένος, οὔτ' ἐπ' ἀμοιβῆς
ἄρσενες, ἀλλ' ὁμόφυλα καὶ εἴκελα πάντα τέτυκται.
Ὡς δὲ καὶ ἠπεδανῆς ἀφύης ὀλιγηπελὲς ἔθνος
οὔτινος ἐκγεγάασιν ἀφ' αἵματος οὐδὲ τοκήων·
εὖτε γὰρ ἐκ νεφέων Ζηνὸς νόος ὄμβρον ἀφύξῃ
λάβρον ὑπὲρ πόντοιο καὶ ἄσχετον, αὐτίκα πᾶσα
μισγομένη δίνῃσι παλιμπνοίῃσι θάλασσα
σίζει τ' ἀφριάᾳ τε καὶ ἵσταται οἰδαίνουσα,

---

[a] Here generic = ὀστρακόδερμα, Testaceans. *Cf.* A. 490 b 9 ἄλλο δὲ γένος ἐστὶ τὸ τῶν ὀστρακοδέρμων, ὃ καλεῖται ὄστρεον. *Cf.* Nicandr. *ap.* Athen. 92 d. For their spontaneous generation, A. 547 b 18 ὅλως δὲ πάντα τὰ ὀστρακώδη γίνεται καὶ αὐτόματα ἐν τῇ ἰλύι, κατὰ τὴν διαφορὰν τῆς ἰλύος ἕτερα, ἐν μὲν τῇ βορβορώδει τὰ ὄστρεα (here = bivalve Testaceans), ἐν δὲ τῇ ἀμμώδει κόγχαι καὶ τὰ εἰρημένα, περὶ δὲ τὰς σήραγγας τῶν πετριδίων τήθυα καὶ βάλανοι καὶ τὰ ἐπιπολάζοντα, οἷον αἱ λεπάδες καὶ οἱ νηρεῖται.

[b] ἀφύη (ἀ- neg. and φύω, *cf.* Athen. 324 d) is generic for various tiny fishes and fish-fry. Some ἀφύαι are said by Aristotle to be spontaneously generated, others are merely the young of various fishes (*cf.* ἑψητός or Eng. *Whitebait*);

from the eggs and always swims beside them; and when it sees them afraid of a strange fish it opens its gape and takes them into its mouth until the terror has withdrawn, and then again ejects them from its throat.

Than the Tunny I deem there is no fish that dwells in the brine more lawless or which exceeds it in wickedness of heart; for when she has laid her eggs and escaped from the grievous travail of birth, the very mother that bare them devours all that she can overtake: pitiless mother who devours her own children while yet they are ignorant of flight and hath no compassion on her brood.

There are also those which are not produced by bridal or birth—races self-created and self-made: even all the Oysters,[a] which are produced by the slime itself. Of these there is no female sex nor, in turn, are there any males, but all are of one nature and alike.

So also the weak race of the feeble Fry [b] are born of no blood and of no parents. For when from the clouds the wisdom of Zeus draws rain, fierce and incontinent, upon the deep, straightway all the sea, confounded by the eddying winds, hisses and foams

A. 569 a 25 *ὅτι μὲν οὖν γίνεται αὐτόματα ἔνια οὔτ' ἐκ ζῴων οὔτ' ἐξ ὀχείας, φανερὸν ἐκ τούτων. ὅσα δὲ μήτ' ᾠοτοκεῖ μήτε ζῳοτοκεῖ, πάντα γίνεται τὰ μὲν ἐκ τῆς ἰλύος τὰ δ' ἐκ τῆς ἄμμου καὶ τῆς ἐπιπολαζούσης σήψεως, οἷον καὶ τῆς ἀφύης ὁ καλούμενος ἀφρὸς γίνεται ἐκ τῆς ἀμμώδους γῆς*; 569 b 22 *ἡ ἄλλη ἀφύη γόνος ἰχθύων ἐστίν*, *e.g.*, *κωβῖτις*, *Φαληρική*, etc.; *cf.* Athen. 284 f ff., Badham, *Fish Tattle*, p. 330 "This Greek epithet, *aphya*, 'unborn,' translated into the Italian equivalent *non-nati*, is that employed by the lazzaroni of Naples to designate young anchovies, and a variety of other *piccoli pesci* of whose origin and parentage they are uncertain"; *cf.* Ael. ii. 22; Phil. 115; Poll. vi. 51; Hesych. *s.v.* and *s.* *τριχθάδες*.

αἱ δ' ἐν ἀτεκμάρτοισι καὶ ἀσκέπτοισι γάμοισιν
ἀθρόαι ἔκ τ' ἐγένοντο καὶ ἔτραφον ἔκ τ' ἐφάνησαν
μυρίαι, ἀβληχραί, πολιὸν γένος· ἐκ δὲ γενέθλης
οὔνομ' ἐπικλήδην ἀφρίτιδες αὐδώωνται.
ἄλλαι δ' ἰλυόεντος ὑπὲκ φλοίσβοιο φύονται·
εὖτε γὰρ ἐν δίνῃσι παλιρροίῃς τε θαλάσσης
βράσσηται πάμφυρτος ἀφυσγετὸς ἐξ ἀνέμοιο
σπερχομένου, τότε πᾶσα συνίσταται εἰς ἓν ἰοῦσα
ἰλὺς εὐρώεσσα, γαληναίης δὲ ταθείσης
ἐξαυτῆς ψάμαθός τε καὶ ἄσπετα φύρματα πόντου
πύθεται, ἐκ δὲ φύονται ἀθέσφατοι, εἴκελοι εὐλαῖς.
οὐ μέν πού τι τέτυκται ἀκιδνότερον γένος ἄλλο
δειλαίης ἀφύης· νεπόδεσσι δὲ πᾶσιν ἔασι
δαῖς ἀγαθή· κεῖναι δὲ δέμας περιλιχμάζουσιν
ἀλλήλων· τό γε δέ σφι βορὴ βίοτός τε τέτυκται·
κεῖναι δ' εὖτε θάλασσαν ἀολλήδην ἐφέπωσιν,
ἠέ νύ που πέτρην ἀμφίσκιον ἠὲ θαλάσσης
διζόμεναι κευθμῶνας ὑποβρυχίην τ' ἀλεωρήν,
πᾶσα τότε γλαυκὴ λευκαίνεται Ἀμφιτρίτη.
ὡς δ' ὁπότ' εὐρύπεδον σκιάσῃ νιφάδεσσιν ἀλωὴν
ἑσπερίου Ζεφύροιο θοὸν μένος, οὐδέ τι γαίης
κυανέης ἰδέειν ὑποφαίνεται, ἀλλ' ἄρα πᾶσα
ἀργεννὴ χιόνεσσιν ἐπασσυτέραις κεκάλυπται·
ὣς τότ' ἀπειρεσίῃσι περιπληθὴς ἀγέλῃσι
φαίνεται ἀργινόεσσα Ποσειδάωνος ἀλωή.

---

[a] Athen. 285 a *πάντων δὲ τούτων ἡ ἀφρῖτις ἀρίστη.* *Cf.* A. 569 b 9 *γίνονται δ' ἐν τοῖς ἐπισκίοις καὶ ἑλώδεσι τόποις, ὅταν*

and swells up and, by what manner of mating is beyond ken or guess, the Fry in shoals are born and bred and come to light, numberless and feeble, a hoary brood; and from the manner of their birth they are nicknamed the Daughters of the Foam.[a] And others of the Fry spring from the alluvial slime; for when in the eddies and tides of the sea a medley mass of scum is washed up by the driving wind, then all the slimy silt comes together and when calm is spread abroad, straightway the sand and the infinite refuse of the sea ferment and therefrom spring the Fry innumerable like worms. There is not surely any other race more feeble than the poor Fry; for all fishes they are a goodly feast, but themselves they lick each the body of the other: that is their food and livelihood. And when in their shoals they beset the sea, seeking haply a shady rock or covert of the sea and watery shelter, then all the grey deep shows white. As when the swift might of Zephyrus from the West shadows with snow-flakes a spacious garden and nothing of the dark earth appears to the eye, but all is white and covered with snow on snow; even so in that season, full to overflowing with the infinite shoals of Fry, white shines the garden of Poseidon.

εὐημερίας γενομένης ἀναθερμαίνεται ἡ γῆ, οἷον περὶ Ἀθήνας ἐν Σαλαμῖνι . . . καὶ ἐν Μαραθῶνι· ἐν γὰρ τούτοις τοῖς τόποις γίνεται ὁ ἀφρός. . . . γίνεται δ' ἐνιαχοῦ καὶ ὁπόταν ὕδωρ πολὺ ἐξ οὐρανοῦ γένηται, ἐν τῷ ἀφρῷ τῷ γιγνομένῳ ὑπὸ τοῦ ὀμβρίου ὕδατος, διὸ καὶ καλεῖται ἀφρός· καὶ ἐπιφέρεται ἐνίοτε ἐπιπολῆς τῆς θαλάττης, ὅταν εὐημερία ᾖ, ἐν ᾧ συστρέφεται, οἷον ἐν τῇ κόπρῳ τὰ σκωλήκια, οὕτως ἐν τούτῳ ὁ ἀφρός, ὅπου ἂν συστῇ ἐπιπολῆς.

ΑΛΙΕΥΤΙΚΩΝ ΤΟ Β

Ὧδε μὲν ἰχθύβοτοί τε νομαὶ καὶ φῦλα θαλάσσης
πλάζονται· τοιῷδε γάμῳ, τοιῇδε γενέθλῃ
τέρπονται· τὰ δέ πού τις ἐπιχθονίοισιν ἅπαντα
ἀθανάτων σήμηνε· τί γὰρ μερόπεσσιν ἀνυστὸν
νόσφι θεῶν; οὐδ' ὅσσον ὑπὲκ ποδὸς ἴχνος ἀεῖραι,
οὐδ' ὅσον ἀμπετάσαι βλεφάρων περιφαέα κύκλα·
ἀλλ' αὐτοὶ κρατέουσι καὶ ἰθύνουσιν ἕκαστα,
τηλόθεν ἐγγὺς ἐόντες· ἀναγκαίη δ' ἀτίνακτος
πείθεσθαι· τὴν δ' οὔτι πέλει σθένος οὐδέ τις ἀλκὴ
τρηχείαις γενύεσσιν ὑπερφιάλως ἐρύσαντα
ἐκφυγέειν, ἅτε πῶλον ἀποπτυστῆρα χαλινῶν·
ἀλλ' αἰεὶ μάκαρες πανυπέρτατοι ἡνία πάντῃ
κλίνουσ', ᾗ κ' ἐθέλωσιν, ὁ δ' ἕσπεται ὅστε σαόφρων,
πρὶν χαλεπῇ μάστιγι καὶ οὐκ ἐθέλων ἐλάηται.
κεῖνοι καὶ τέχνας πολυκερδέας ἀνθρώποισιν
δῶκαν ἔχειν καὶ πᾶσαν ἐπιφροσύνην ἐνέηκαν.
ἄλλος δ' ἀλλοίοισιν ἐπώνυμος ἔπλετο δαίμων
ἔργοις, οἷσιν ἕκαστος ἐπίσκοπον ἤρατο τιμήν.
Δηὼ μὲν ζεύγλης τε βοῶν ἀρότοιό τε γαίης

[a] ποδὸς ἴχνος is so common a periphrasis for πούς (Eur. *I. in T.* 752 etc.), and αἴρω (Eur. *Tr.* 342 μὴ κοῦφον αἴρῃ βῆμ' ἐς Ἀργείων στρατόν) so naturally refers to "lifting" the foot, that this seems the safer rendering. Nor does ὑπέκ cause any difficulty (Soph. *Ant.* 224 κοῦφον ἐξάρας πόδα, Anonym. Poet. *ap.* Suid. *s.* Ταῦρος . . . τὸν αὐχένα | κυρτῶς ὑπεξαίροντι).

HALIEUTICA, OR FISHING

II

Thus do fishes range and feed, thus roam the tribes of the sea; in such mating, in such breeding they delight. All these things, I ween, someone of the immortals hath showed to men. For what can mortals accomplish without the gods? Nay, not even so much as lift a foot from the ground [a] or open the bright orbs of the eyes. The gods themselves rule and direct everything, being far, yet very near. And doom unshakable constrains men to obey, and there is no strength nor might whereby one may haughtily wrench [b] with stubborn jaws and escape that doom, as a colt that spurns the bit. But evermore the gods who are above all turn the reins all ways even as they will, and he who is wise obeys before he is driven by the cruel lash unwillingly. The gods also have given to men cunning arts and have put in them all wisdom. Other god is namesake of other craft, even that whereof he hath got the honourable keeping. Deo [c] hath the privilege of

The Schol, has τὸν πόδα ἐκ τοῦ ἴχνους, and a possible rendering would be "to move one foot past another. *Cf.* Hom. *Il.* ix. 547 ὀλίγον γόνυ γουνὸς ἀμείβων.

[b] For the behaviour of the ἄστομος πῶλος or "unmouthed" colt *cf.* Aesch. *Pers.* 195 συναρπάζει βίᾳ, Soph. *El.* 723, Eur. *Hipp.* 1224 βίᾳ φέρουσιν, Aesch. *Ag.* 1066, Xen. *Eq.* 3. 5.

[c] Demeter.

πυρῶν τ' εὐκάρποιο φέρει γέρας ἀμητοῖο.
δοῦρα δὲ τεκτήνασθαι ἀναστῆσαί τε μέλαθρα,
φάρεά τ' ἀσκῆσαι μήλων εὐανθέϊ καρπῷ
Παλλὰς ἐπιχθονίους ἐδιδάξατο· δῶρα δ' Ἄρηος
φάσγανα χάλκειοί τε περὶ μελέεσσι χιτῶνες
καὶ κόρυθες καὶ δοῦρα καὶ οἷς ἐπιτέρπετ' Ἐνυώ.
δῶρα δὲ Μουσάων τε καὶ Ἀπόλλωνος ἀοιδαί.
Ἑρμείης δ' ἀγορήν τε καὶ ἀλκήεντας ἀέθλους
ὤπασεν. Ἡφαίστῳ δὲ μέλει ῥαιστήριος ἱδρώς.
καὶ τάδε τις πόντοιο νοήματα καὶ τέλος ἄγρης
πληθύν θ' ὑγροπόρων θεὸς ὤπασε τεκμήρασθαι
ἀνδράσιν, ὃς καὶ πρῶτα μεσορραγέας κενεῶνας
γαίης ἀγρομένοισιν ἐνιπλήσας ποταμοῖσι
πευκεδανὴν ἀνέχευε καὶ ἐξέστεψε θάλασσαν,
ὀφρύσι καὶ ῥηγμῖσι περίδρομον ἀμφιπεδήσας,
εἴτε μιν εὐρυμέδοντα Ποσειδάωνα καλέσσαι,
εἴτ' ἄρα καὶ Νηρῆα παλαίφατον, εἴτ' ἄρα Φόρκυν
βέλτερον, εἴτε τιν' ἄλλον ἁλὸς θεὸν ἰθυντῆρα.
δύμεναι εὐρωποῖο καὶ εἰς ἁλὸς ἐλθέμεν ἀκτήν·
ἔνθα μιν ὀξεῖαι στεροπαὶ ῥιπαί τε κεραυνῶν
ζαφλεγέες πρήνιξαν· ὁ δ' αἰθόμενος πυρὸς ὄμβροις
κρᾶθ' ἑκατὸν πέτρῃσι περιστυφελίζετο πάντῃ
ξαινόμενος· ξανθαὶ δὲ παρ' ἠϊόνεσσιν ἔτ' ὄχθαι
λύθρῳ ἐρευθιόωσι Τυφαονίων ἀλαλητῶν.
Ἑρμεία κλυτόβουλε, σὲ δ' ἔξοχον ἱλάσκονται
ἰχθυβόλοι· τῷ καί σε σὺν ἀγροίοισιν ἀΰσας
δαίμοσιν εὐθήροιο μετὰ κλέος ἔρχομαι οἴμης.
Πρῶτα μὲν ἀσπαλιῆϊ δέμας καὶ γυῖα παρείη
ἀμφότερον καὶ κραιπνὰ καὶ ἄλκιμα, μήτε τι λίην
πίονα μήτε τι σαρκὶ λελειμμένα· δὴ γὰρ ἀνάγκη
πολλάκι μιν κρατεροῖσιν ἀνελκομένοισι μάχεσθαι
ἰχθύσιν, οἷς ὑπέροπλον ἔνι σθένος, εἰσόκεν ἅλμης
μητρὸς ἐν ἀγκοίνῃσιν ἑλισσόμενοι δονέονται.
χρειὼ δ' ἐκ πέτρης τε θορεῖν πέτρην τ' ἀνοροῦσαι
ῥηϊδίως· χρειὼ δὲ πόνου βυθίοιο ταθέντος
ῥίμφα διϊχνεῦσαι δολιχὸν πόρον ἔς τε βάθιστα
δῦναι καὶ μίμνοντα μετ' οἴδμασιν ὡς ἐπὶ γαίης
δηθύνειν ἔργοισι πονεύμενον, οἷς ἐνὶ πόντῳ
ἄνδρες ἀεθλεύουσι ταλάφρονα θυμὸν ἔχοντες.

---

[a] *i.q.* Typhos (Aesch. *P.V.* 370; Pind. *P.* i. 16, viii. 16), Typhoeus (Hes. *Th.* 821), son of Tartarus and Gaia (Hes. *l.c.*). In mythology his birth and life is mostly associated with Cilicia (Pind. *P.* i. 16 Τυφὼς ἑκατοντακάρανος τόν ποτε | Κιλίκιον θρέψεν πολυώνυμον ἄντρον, viii. 16 Τυφὼς Κίλιξ, Aesch. *P.V.* 351 τὸν γηγενῆ τε Κιλικίων οἰκήτορα | ἄντρων, Hom. *Il.* ii. 784), his

of Zeus—the saviour of Zeus but the slayer of Typhon.[a] For he tricked terrible Typhon with promise of a banquet of fish and beguiled him to issue forth from his spacious pit and come to the shore of the sea, where the swift lightning and the rushing fiery thunderbolts laid him low ; and, blazing in the rain of fire, he beat his hundred heads upon the rocks whereon he was carded all about like wool. And even now the yellow banks by the sea are red with the blood of the Typhonian battle. O Hermes, glorious in counsel, thee especially do fishermen worship.[b] Therefore invoking thee with the gods who aid their hunt I pursue the glorious song of their chase.

First of all the fisher should have body and limbs both swift and strong, neither over fat nor lacking in flesh. For often he must fight with mighty fish in landing them—which have exceeding strength so long as they circle and wheel in the arms of their mother sea. And lightly he must leap from a rock ; and, when the toil of the sea is at its height, he must swiftly travel a long way and dive into the deepest depths and abide amongst the waves and remain labouring at such works as men upon the sea toil at with enduring heart. Cunning of wit too and wise

death with Sicily (Aesch. *P.V.* 365 *ἰπούμενος ῥίζαισιν Αἰτναίαις ὕπο* ; Pind. *P.* i. 18 *ταί θ' ὑπὲρ Κύμας ἁλιερκέες ὄχθαι Σικελία τ' αὐτοῦ πιέζει στέρνα λαχνάεντα*).

[b] Pan father of Hermes as a *νόμιος θεός* (Hom. *H.* xix. 5) is patron alike of Hunting, Fishing, *cf.* *A.P.* vi. 167 (a dedication to Pan) *ὦ δισσᾶς ἀγέτα θηροσύνας· | σοὶ γὰρ καστορίδων ὑλακὰ καὶ τρίστομος αἰχμὴ | εὔαδε καὶ ταχινῆς ἔργα λαγωσφαγίης | δίκτυά τ' ἐν ῥοθίοις ἀπλούμενα καὶ καλαμευτὰς | κάμνων καὶ μογερῶν πεῖσμα σαγηνοβόλων*, and Fowling, *cf.* *A.P.* vi. 180 *ταῦτά σοι ἔκ τ' ὀρέων ἔκ τ' αἰθέρος ἔκ τε θαλάσσας | τρεῖς γνωτοὶ τέχνας σύμβολα, Πάν, ἔθεσαν.* *Cf. ibid.* 11-16, 179, 181-187.

*ψυχὴν δ' ἀσπαλιεὺς πολυπαίπαλος ἠδὲ νοήμων
εἴη· ἐπεὶ μάλα πολλὰ καὶ αἰόλα μηχανόωνται
ἰχθύες ἐγκύρσαντες ἀνωΐστοισι δόλοισι.
τολμήεις δὲ μάλιστα καὶ ἄτρομος ἠδὲ σαόφρων
εἴη, μηδ' ὕπνου φιλέοι κόρον· ὀξὺ δὲ λεύσσοι
ἐγρήσσων κραδίῃ τε καὶ ὄμμασι πεπταμένοισιν.
εὖ δὲ φέροι καὶ χεῖμα Διὸς καὶ δίψιον ὥρην
Σειρίου· ἱμείροι δὲ πόνων, ἐράοι δὲ θαλάσσης·
ὧδε γὰρ εὐάγρης τε καὶ Ἑρμείᾳ φίλος εἴη.
Θήρη δ' ἑσπερίη μὲν ὀπωρινῇσιν ἐν ὥραις
καρτίστη τελέθει καὶ ἑωσφόρος εὖτ' ἀνατέλλῃ·
χείματι δ' ἠελίοιο βολαῖς ἅμα κιδναμένῃσι
στέλλεσθαι· πᾶν δ' ἦμαρ ἐν εἴαρι τηλεθόωντι
ἄγραις παντοίῃσιν ὀφέλλεται, ἦμος ἅπαντες
ἔλλοπες ἠϊόνεσσιν ἐφέστιοι ἐγγύθι γαίης
ἕλκονται τοκετῶν τε μόγῳ δίψῃ τ' Ἀφροδίτης.
αἰεὶ δ' εἰς ἄνεμον παπταινέμεν, ὅς κεν ἄῃσιν
ἤπιος, εὐδιόων, μαλακὴν ἅλα κοῦφα κυλίνδων·
λάβρους γὰρ τρομέουσι καὶ ἐχθαίρουσιν ἀήτας
ἰχθύες, οὐδ' ἐθέλουσιν ὑπεὶρ ἅλα δινεύεσθαι·
εὐκραεῖ δ' ἀνέμῳ περιδέξιος ἵσταται ἄγρη.
πάντες δὲ πνοιῇσιν ἐναντία καὶ ῥοθίοισι
πλῶτες ἁλὸς θύνουσιν, ἐπεὶ σφίσιν ὧδε κέλευθος
ῥηϊτέρη στείχουσιν ἐπ' ἠόνας, οὐδ' ὑπ' ἀνάγκης
ἐξόπιθε ῥιπῇσιν ἐλαυνόμενοι μογέουσιν.*

---

[a] *H.* v. 616 ὕπνῳ τ' οὐχ ἁλιεῦσιν ἐοικότι.

[b] Hom. *H.* xix. 14 (Pan) ὀξέα δερκόμενος.

[c] *Cf. C.* iii. 322 κύνα Σείριον; *H.* i. 152 ὀπωρινοῖο κυνός. Sirius, or the Dog-star, the heliacal (morning) rising of which in July was associated with extreme heat: Hesiod, *S.* 397 ἴδει ἐν ἀκροτάτῳ ὅτε τε χρόα Σείριος ἄζει, *cf. ibid.* 153; *W.* 417, 587, 609: the *dies caniculares* or dog-days; *cf.* Calverley, *Lines on Hearing the Organ*: Neath the baleful star of Sirius,

should the fisher be, since many and various are the devices that fishes contrive, when they chance upon unthought-of snares. Daring also should he be and dauntless and temperate and he must not love satiety [a] of sleep but must be keen of sight,[b] wakeful of heart and open-eyed. He must bear well the wintry weather and the thirsty season of Sirius [c]; he must be fond of labour and must love the sea. So shall he be successful in his fishing and dear to Hermes.

In the autumn season fishing is best in the evening and when the morning-star rises. In winter the fisher should set out with the spreading rays of the sun. In bloomy spring the whole day is prosperous in all manner of fishing, what time all fishes are drawn to haunt the coasts near the land by the travail of birth and the thirst of desire. Look always for a wind that blows gentle and fair, lightly rolling a tranquil sea. For fishes fear and loathe violent winds and will not wheel over the sea, but with a temperate wind fishing is exceedingly favourable. All the fishes that swim the sea speed against wind and wave, since this is the easier way for them in their march toward the shores, and they do not suffer through being driven forcefully by the current. But when the

When the postmen slowlier jog, And the ox becomes delirious, And the muzzle decks the dog. Alcaeus *fr.* 39 *τέγγε πλεύμονα οἴνῳ· τὸ γὰρ ἄστρον περιτέλλεται, | ἁ δ' ὤρα χαλέπα, πάντα δὲ δίψαισ' ὑπὰ καύματος.* The name S.rius does not occur in Homer, but the star is referred to *Il.* v. 4 *ἀστέρ' ὀπωρινῷ ἐναλίγκιον ὅς τε μάλιστα | λαμπρὸν παμφαίνῃσι λελουμένος Ὠκεανοῖο*; xxii. 26 *παμφαίνονθ' ὥς τ' ἀστέρ' ἐπεσσύμενον πεδίοιο | ὅς ῥά τ' ὀπώρης εἶσιν ἀρίζηλοι δέ οἱ αὐγαὶ | φαίνονται πολλοῖσι μετ' ἀστράσι νυκτὸς ἀμολγῷ, | ὅν τε κύν' Ὠρίωνος ἐπίκλησιν καλέουσι· | λαμπρότατος μὲν ὅ γ' ἐστί κακὸν δέ τε σῆμα τέτυκται, | καί τε φέρει πολλὸν πυρετὸν δειλοῖσι βροτοῖσιν.*

ἀλλ᾽ ἁλιεὺς στέλλοιτο λίνον πνοιῇσι πετάσσας
οὔριον, ἐς Βορέην μέν, ἐπὴν Νότος ὑγρὸς ἄῃσιν·
ἐς Νοτίην δὲ θάλασσαν ἐπειγομένου Βορέαο·
Εὔρου δ᾽ ἱσταμένοιο ποτὶ Ζεφύροιο κέλευθα·
πρὸς δ᾽ Εὖρον Ζέφυρος φορέοι σκάφος· ὧδε γὰρ ἐσμοὶ
ἄσπετοι ἀντήσουσι καὶ εὔβολος ἔσσεται ἄγρη.
Τέτραχα δ᾽ εἰναλίης θήρης νόμον ἐφράσσαντο
ἰχθυβόλοι· καὶ τοὶ μὲν ἐπ᾽ ἀγκίστροισι γάνυνται,
τῶν δ᾽ οἱ μὲν δονάκεσσιν ἀναψάμενοι δολιχοῖσιν
ὁρμιὴν ἵππειον ἐΰπλοκον ἀγρώσσουσιν·
οἱ δ᾽ αὔτως θώμιγγα λινόστροφον ἐκ παλαμάων
δησάμενοι πέμπουσιν· ὁ δ᾽ ᾗ καθέτοισι γέγηθεν
ἢ πολυαγκίστροισιν ἀγάλλεται ὁρμιῇσι.
δίκτυα δ᾽ αὖτ᾽ ἄλλοισι μέλει πλέον ἐντύνεσθαι·
τῶν τὰ μὲν ἀμφίβληστρα, τὰ δὲ γρῖφοι καλέονται,
γάγγαμά τ᾽ ἠδ᾽ ὑποχαὶ περιηγέες ἠδὲ σαγῆναι·
ἄλλα δὲ κικλήσκουσι καλύμματα, σὺν δὲ σαγήναις

---

[a] Introd. p. xxxix.

[b] Hom. *Od.* iv. 368 αἰεὶ γὰρ νῆσον ἀλώμενοι ἰχθυάασκον | γναμπτοῖς ἀγκίστροισιν, xii. 330 καὶ δὴ ἄγρην ἐφέπεσκον ἀλητεύοντες ἀνάγκῃ, | ἰχθῦς ὄρνιθάς τε, φίλας ὅτι χεῖρας ἵκοιτο, | γναμπτοῖς ἀγκίστροισιν; *A.P.* vi. 4. 1 εὐκαμπὲς ἄγκιστρον; vi. 5. 2 γυρῶν ἀγκίστρων λαιμοδακεῖς ἀκίδας (barbs); *ibid.* 27. 6; 28. 2, etc.; Theocr. xxi. 10.

[c] *A.P.* vi. 4. 2 ὁρμειήν; *E.M.* *s.* ὅρμος . . . παρὰ τὸ εἴρω, ἐξ οὗ καὶ ὁρμιά, ἡ σειρὰ πρὸς ἣν τὸ ἄγκιστρον ἐπησφάλισται δεδεμένον; Hesych. *s.* ὁρμιά· σχοινίον λεπτόν; *s.* ὁρμευτής· ἁλιεύς; Eur. *Hel.* 1615 ὁρματόνοι = fishermen.

[d] *A.P.* vi. 23. 7 καὶ βαθὺν ἱππείης πεπεδημένον ἅμματι χαίτης, | οὐκ ἄτερ ἀγκίστρων, λιμνοφυῆ δόνακα; vi. 192. 3 γαμψὸν χαίτῃσιν ἐφ᾽ ἱππείῃσι πεδηθὲν ἄγκιστρον.

[e] *A.P.* vi. 4. 1 δούρατα δουλιχόεντα; vi. 27. 2 ἀγκίστρων συζυγίην δονάκων; vi. 28. 1 καμπτομένους δόνακας, *cf.* vi. 29. 4. Also called κάλαμοι: Theocr. xxi. 10, and 43, κάλαμος sing. *ibid.* 47. Lat. *arundo.*

[f] Hom. *Il.* xvi. 406 ἕλκε δὲ δουρὸς ἑλὼν ὑπὲρ ἄντυγος ὡς ὅτε

fisher puts to sea let him set his sail with the wind—Northward when the wet South Wind blows; Southward when the North Wind drives the sea; when the East Wind rises, towards the paths of the West Wind; towards the East let the West Wind bear his vessel; for so will infinite shoals meet him and his fishing will be blest with luck.

Fourfold[a] modes of hunting their prey in the sea have fishermen devised. Some delight in Hooks[b]; and of these some fish with a well-twisted line[c] of horse-hair[d] fastened to long reeds,[e] others simply cast a flaxen cord[f] attached to their hands, another rejoices in leaded lines[g] or in lines with many hooks.[h] Others prefer to array Nets[i]; and of these there are those called casting-nets, and those called draw-nets—drag-nets and round bag-nets and seines. Others they call cover-nets, and, with the seines,

τις φὼς | πέτρῃ ἐπὶ προβλῆτι καθήμενος ἱερὸν ἰχθὺν | ἐκ πόντοιο θύραζε λίνῳ καὶ ἤνοπι χαλκῷ. The reference is to what is now called "hand-lines."

[g] *κάθετος* is properly a plummet, Lat. *perpendiculum.* Here of a fishing-line weighted at the end. *A.P.* vii. 637 *Πύρρος ὁ μουνερέτης ὀλίγῃ νεὶ λεπτὰ ματεύων | φυκία καὶ τριχίνης μαινίδας ἐκ καθέτης*; *cf.* Apost. p. 48 "Pour la pêche des serrans (*χάνους*) et celle des pagels on emploie une ligne appelée *χανικό, καθετή*. . . Cet engin porte à son extrémité libre un morceau cônique de plomb (*μολυβίθρα*) à la partie supérieure duquel sont attachés sur des avancées 4 ou 8 hameçons. Il est totalement en crins de cheval tordus; il est employé surtout par les amateurs de pêche, dans leurs moments de loisir. On se rende sur de petites embarcations dans les endroits rocheux, on mouille le bateau et l'on commence la pêche en jetant la ligne, à laquelle le poids du plomb fait prendre, dans l'eau, une direction perpendiculaire; une fois qu'elle a touché le fond, on la soulève un peu et on la tient ainsi disposée pour la pêche."

[h] Introd. p. xxxix.

[i] For the varieties of net mentioned here see Introd. p. xl.

πέζας καὶ σφαιρῶνας ὁμοῦ σκολιόν τε πάναγρον·
μυρία δ' αἰόλα τοῖα δολορραφέων λίνα κόλπων.
ἄλλοι δ' αὖ κύρτοισιν ἐπὶ φρένα μᾶλλον ἔχουσι,
κύρτοις, οἳ κνώσσοντας ἑοὺς ηὕφρηναν ἄνακτας
εὐκήλους· βαιῷ δὲ πόνῳ μέγα κέρδος ὀπηδεῖ.
ἄλλοι δ' οὐτάζουσι τανυγλώχινι τριαίνῃ
ἔλλοπας ἐκ χέρσου τε καὶ ἐκ νεός, ὡς ἐθέλουσι.
τῶν πάντων καὶ μέτρον ὅσον καὶ κόσμον ἑκάστου
ἀτρεκέως ἴσασιν, ὅσοι τάδε τεκταίνονται.
'Ιχθύσι δ' οὐκ ἄρα μοῦνον ἐπ' ἀλλήλοισι νόημα
πυκνὸν ἔην καὶ μῆτις ἐπίκλοπος, ἀλλὰ καὶ αὐτοὺς
πολλάκις ἐξεπάφησαν ἐπίφρονας ἀγρευτῆρας
καὶ φύγον ἀγκίστρων τε βίας λαγόνας τε πανάγρων,
ἤδη ἐνισχόμενοι, παρὰ δὲ φρένας ἔδραμον ἀνδρῶν,
βουλῇ νικήσαντες, ἄχος δ' ἁλιεῦσι γένοντο.
Κεστρεὺς μὲν πλεκτῇσιν ἐν ἀγκοίνῃσι λίνοιο
ἑλκόμενος δόλον οὔτι περίδρομον ἠγνοίησεν,
ὕψι δ' ἀναθρώσκει, λελιημένος ὕδατος ἄκρου,
ὀρθὸς ἄνω σπεύδων ὅσσον σθένος ἅλματι κούφῳ
ὁρμῆσαι, βουλῆς δὲ σαόφρονος οὐκ ἐμάτησε·
πολλάκι γὰρ ῥιπῇσι καὶ ὕστατα πείσματα φελλῶν

---

[a] Lat. *nassa*, Sil. Ital. v. 47, Plin. ix. 132, etc.; a long basket of wickerwork (σχοινίδι κύρτῃ Nicand. *A*. 625, Plat. *Tim.* 79 D κύρτου πλέγματι, *cf*. Plin. xxi. 114) with wide funnel-shaped mouth and narrow throat, so constructed that once the fish has entered, it cannot get out again, Theocr. xxi. 11; Poll. x. 132, *A.P.* vi. 23 πλωτῶν τε πάγην περιδέα κύρτον; *cf*. vi. 192.

[b] Plato, *Laws* 823 E εὕδουσι κύρτοις ἀργὸν θήραν διαπονουμένοις.

[c] A three-pronged fork for spearing fish: Poll. x. 133 τριόδους, τρίαινα, ἰχθύκεντρον; Plat. *Soph*. 220 C; Athen. 323 e; *A.P.* vi. 30; Hom. *Od*. x. 124 ἰχθῦς δ' ὣς πείροντες, where Eustath. τριαίναις ἢ τισιν ἑτέροις ἀπωξυμμένοις ὀργάνοις; Plin. ix. 51, 84, 92.

there are those called ground-nets and ball-nets and the crooked trawl : innumerable are the various sorts of such crafty-bosomed Nets. Others again have their minds set rather upon Weels [a] which bring joy to their masters while they sleep [b] at ease, and great gain attends on little toil. Others with the long pronged Trident [c] wound the fish from the land or from a ship as they will. The due measure and right ordering of all these they know certainly who contrive these things.

Fishes, it seems, not only against one another employ cunning wit and deceitful craft but often also they deceive even the wise fishermen themselves and escape from the might of hooks and from the belly of the trawl when already caught in them, and outrun the wits of men, outdoing them in craft, and become a grief to fishermen.

The Grey Mullet,[d] when caught in the plaited arms of the net, is not ignorant of the encircling snare, but leaps up, eager to reach the surface of the water, hasting with all his might to spring straight up with nimble leap, and fails not of his wise purpose. For often he lightly overleaps [e] in his rush the utmost

[d] *H.* ii. 642 n.

[e] The leaping powers of the Grey Mullet (τὸν τάχιστον τῶν ἰχθύων A. 620 b 26) necessitate a special arrangement of nets ; Apost. p. 34 "Les filets, simples ou compliqués, servent à capturer tous les poissons, excepté les muges, qui, sauteurs par excellence, peuvent d'un bond passer par-dessus le piège tendu. Pour attraper ce poisson, on ajoute aux filets simples et placés perpendiculairement à la surface des eaux d'autres filets compliqués, lesquels, convenablement tendus par des roseaux, se tiennent sur une ligne horizontale à celle de la surface même de l'eau ; ainsi le muge en sautant pour échapper au piège tombe sur ces autres filets aux mailles desquels il se prend en se débattant."

ῥηϊδίως ὑπερᾶλτο καὶ ἐξήλυξε μόροιο.
ἣν δ᾽ ὅ γ᾽ ἀνορμηθεὶς πρῶτον στόλον αὖτις ὀλίσθῃ
ἐς βρόχον, οὐκέτ᾽ ἔπειτα βιάζεται οὐδ᾽ ἀνορούει
ἀχνύμενος, πείρῃ δὲ μαθὼν ἀποπαύεται ὁρμῆς.
ὡς δ᾽ ὅτε τις νούσῳ πολυκηδέϊ δηρὸν ἀλύων
πρῶτα μὲν ἱμείρων τε καὶ ἱέμενος βιότοιο
πάντα μάλ᾽ ἰητῆρσιν ἐφέσπεται, ὅσσα κέλονται
ῥέζων· ἀλλ᾽ ὅτε κῆρες ἐπικρατέωσιν ἄφυκτοι
Ἄϊδος, οὐκέτ᾽ ἔπειτα μέλει βίου, ἀλλὰ τανυσθεὶς
κεῖται ἐπιτρέψας θανάτῳ κεκαφηότα γυῖα,
ἤδη λοίσθιον ἦμαρ ὁρώμενος ἐγγύθι πότμου·
ὣς ἄρα καὶ κεστρεὺς ἐδάη τέλος οἷον ἱκάνει,
κεῖται δὲ προπεσών, μίμνων μόρον ἀγρευτῆρος.
Μύραιναι δ᾽ ὅτε κέν ποτ᾽ ἐνιπλήξωσι λίνοισι,
διζόμεναι βρόχον εὐρὺν ἐν ἕρκεϊ δινεύονται,
τοῦ δὲ διαΐγδην ὀφίων νόμον ὁρμηθεῖσαι
πᾶσαι ὀλισθηροῖσι διεξέπεσον μελέεσσι.
Λάβραξ δὲ πτερύγεσσι διὰ ψαμάθοιο λαχήνας
βόθρον ὅσον δέξασθαι ἑὸν δέμας ἠΰτ᾽ ἐς εὐνὴν
ἐκλίνθη· καὶ τοὶ μὲν ἐπ᾽ ἠϊόνας κατάγουσι
δίκτυον ἀσπαλιῆες, ὁ δ᾽ ἰλύϊ κείμενος αὔτως
ἀσπασίως ἤλυξε καὶ ἔκφυγεν ἄρκυν ὀλέθρου.

[a] The corks which both support the net and mark its position. Pind. *P.* ii. 79 ἅτε γὰρ εἰνάλιον πόνον ἐχοίσας βαθὺ σκευᾶς ἑτέρας ἀβάπτιστός εἰμι φελλὸς ὣς ὑπὲρ ἕρκος ἅλμας; Aesch. *Ch.* 505 παῖδες γὰρ ἀνδρὶ κληδόνες σωτήριοι | θανόντι· φελλοὶ δ᾽ ὣς ἄγουσι δίκτυον, | τὸν ἐκ βυθοῦ κλωστῆρα σῴζοντες λίνου; *A.P.* vi. 192. 5 ἀβάπτιστόν τε καθ᾽ ὕδωρ | φελλὸν ἀεὶ κρυφίων σῆμα λαχόντα βόλων; Alciphr. *Ep.* i. 1. 4 μικρὸν δὲ ἄπωθεν τῆς ἀκτῆς χαλάσαντες, φεῦ τῆς εὐοψίας, ὅσον ἰχθύων ἐξειλκύσαμεν· μικροῦ καὶ τοὺς φελλοὺς ἐδέησε κατασῦραι ὑφάλους τὸ δίκτυον ἐξωγκωμένον; Pausan. viii. 12 Ἀρκάδων δὲ ἐν τοῖς δρυμοῖς εἰσιν αἱ δρῦς διάφοροι, καὶ τὰς μὲν πλατυφύλλους αὐτῶν, τὰς δὲ φηγοὺς καλοῦσιν, αἱ τρίται δὲ ἀραιὸν τὸν φλοιὸν καὶ οὕτω δή τι παρέχονται κοῦφον, ὥστε ἀπ᾽ αὐτοῦ καὶ ἐν θαλάσσῃ ποιοῦνται

bounds of the corks [a] and escapes from doom. But if at his first upward rush he slips back again into the net, he makes no further effort and leaps no more in his grief but taught by trial, ceases from his endeavours. As when a man, long distressed by painful disease, at first, in his yearning and desire for life, obeys the physicians and does all things that they bid him ; but when the unescapable fates of death prevail, he cares no more for life but lies stretched out, giving over to death his exhausted limbs, beholding already at hand the final day of fate ; even so the Grey Mullet knows what manner of end is come upon him and lies prone, awaiting doom from his captor.

The Muraena,[b] when they are caught in the net, circle about in the enclosure seeking for a wide mesh and through it making their way, after the manner of snakes, with slippery limbs they all escape.

The Basse [c] digs with its fins in the sand a trench large enough to admit its body and lays itself therein as in a bed. And the fishermen bring down to the shore a net but the Basse by simply lying in the mud gladly avoids them and escapes the net of destruction.

σημεῖα ἀγκύραις καὶ δικτύοις· ταύτης τῆς δρυὸς [*Quercus suber*] *τὸν φλοιὸν ἄλλοι τε Ἰώνων καὶ Ἑρμησιάναξ ὁ τὰ ἐλεγεῖα ποιήσας φελλὸν ὀνομάζουσιν* ; Plut. *Mor.* 127 D *ὅπως, κἂν πιεσθῇ ποτε, φελλοῦ δίκην ὑπὸ κουφότητος ἀναφέρηται*: Poll. i. 97 ; x. 133.

[b] Ael. i. 33 *ὅταν δὲ αὐτὴν τὸ δίκτυον περιβάλῃ, διανήχεται καὶ ζητεῖ ἢ βρόχον ἀραῖον ἢ ῥῆγμα τοῦ δικτύου πάνυ σοφῶς· καὶ ἐντυχοῦσα τοιούτων τινὶ καὶ διεκδῦσα ἐλευθέρα νήχεται αὖθις· εἰ δὲ τύχοι μία τῆσδε τῆς εὐερμίας, καὶ αἱ λοιπαὶ ὅσαι τοῦ αὐτοῦ γένους συνεαλώκασι κατὰ τὴν ἐκείνης φυγὴν ἐξίασιν, ὡς ὁδόν τινα λαβοῦσαι παρ' ἡγεμόνος.*

[c] Plut. *Mor.* 977 F *ὥσπερ τῷ λάβρακι· συρομένην (τὴν σαγήνην) γὰρ αἰσθανόμενος βίᾳ διίστησι καὶ τύπτει κοιλαίνων τοὔδαφος· ὅταν δὲ ποιήσῃ ταῖς ἐπιδρομαῖς τοῦ δικτύου χώραν, ἔωσεν ἑαυτὸν καὶ προσέχεται, μέχρι ἂν παρέλθῃ.*

Τοῖα δὲ τεχνάζει καὶ μορμύρος· εὖτ' ἂν ἐς ἄγρην
φράσσηται προπεσών, ὁ δὲ δύεται ἐν ψαμάθοισι.
Λάβραξ δ' ἀγκίστροιο τυπεὶς εὐκαμπέος αἰχμῇ
ὑψόσ' ἀναθρώσκων κεφαλὴν ἀζηχὲς ἐρείδει
αὐτῇ ἐν ὁρμιῇ βεβιημένος, ὄφρα οἱ ἕλκος
εὐρύτερόν τε γένοιτο καὶ ἐκφυγέῃσιν ὄλεθρον.
Τοῖα καὶ ὄρκυνοι μεγακήτεες ἐφράσσαντο·
εὖτε γὰρ ἁρπάξωσι γένυν γναμπτοῖο δόλοιο,
ῥίμφα τιταινόμενοι νεάτην ὑπὸ βύσσαν ἵενται,
χεῖρα βιαζόμενοι θηρήτορος· ἢν δ' ἀνύσωσιν
ἐς πέδον, αὐτίκ' ἔπειτα κάρη θείνοντες ἐς οὖδας
ὠτειλὴν ἔρρηξαν, ἀποπτύουσι δ' ἀκωκήν.
'Αλλ' ὁπόταν καθέτοισι πελώριοι ἀμφιχάνωσιν
ἰχθύες, οἷα βοῶν τε πέλει προβάτων τε γένεθλα
ἢ βατὶς ἢ καὶ ὄνων νωθρὸν γένος, οὐκ ἐθέλουσιν
ἕσπεσθαι, ψαμάθοισι δ' ἐπὶ πλατὺ σῶμα βαλόντες
ἀθρόοι ἐμβαρύθουσι, μόγον θ' ἁλιεῦσιν ἔθηκαν.
πολλάκι δ' ἐξώλισθον ἀπ' ἀγκίστροιο λυθέντες.

---

[a] *C.* i. 74 n.; *H.* i. 100 n.; Plut. *Mor.* 977 F ἀμφιβλήστροις μὲν γὰρ καὶ ὑποχαῖς . . . ἁλίσκονται μόρμυροι κτλ.

[b] Plut. *Mor.* 977 B ὁ δὲ λάβραξ ἀνδρικώτερον τοῦ ἐλέφαντος οὐχ ἕτερον ἀλλ' αὐτὸς ἑαυτόν, ὅταν περιπέσῃ τῷ ἀγκίστρῳ, βελουλκεῖ, τῇ δεῦρο κἀκεῖ παραλλάξει τῆς κεφαλῆς ἀνευρύνων τὸ τραῦμα καὶ τὸν ἐκ τοῦ σπαραγμοῦ πόνον ὑπομένων, ἄχρι ἂν ἐκβάλῃ τὸ ἄγκιστρον.

[c] A large-sized Tunny. In M.G. ὀρκύνος = *Thynnus brachypterus* (Apost. p. 14). *Cf.* Athen. 303 b Ἡρακλέων δ'

A like device is practised by the Mormyrus[a]: when it perceives that it has fallen into the net, it hides in the sands.

The Basse,[b] when smitten by the point of the bent hook, leaps on high and incessantly presses its head violently on the line itself, till the wound becomes wider and it escapes destruction.

The mighty Orcynus[c] employ a similar device. For when they have seized the jaw of the guileful hook, swiftly they strain and rush to the nether depths, putting pressure on the hand of the fisher; and if they reach the bottom, straightway they beat their head against the ground and tear open the wound and spit out the barb.[d]

But when giant fishes swallow the leaded hooks—such as the tribes of the Ox-ray[e] and the Sea-sheep[f] and the Skate[g] or the sluggish race of the Hake[h]—they will not yield to it but throwing their flat bodies in the sands they put all their weight upon the line and cause trouble to the fishermen, and often they get free from the hook and escape.

ὁ Ἐφέσιος <θύννον> τὸν ὄρκυνόν φησι λέγειν τοὺς Ἀττικούς. Σώστρατος δ' ἐν δευτέρῳ περὶ ζῴων τὴν πηλαμύδα θυννίδα καλεῖσθαι λέγει, μείζω δὲ γινομένην θύννον, ἔτι δὲ μείζονα ὄρκυνον, ὑπερβαλλόντως δὲ αὐξανόμενον γίνεσθαι κῆτος. *Cf.* Hesych. *s. θύννον* and *s. ὄρκυνος*; A. 543 b 4 *οἱ δ' ὄρκυνες (τίκτουσιν) ἐν τῷ πελάγει.* For the form *ὄρκυνες cf.* Anaxandr. *ap.* Athen. 131 e; Plin. xxxii. 149 orcynus—hic est pelamydum generis maximus neque ipse redit in Maeotim, similis tritomi, vetustate melior. *Cf.* P. Rhode, *Thynnorum Captura*, p. 10.

[d] Ael. i. 40 *ὅταν γοῦν περιπαρῇ τῷ ἀγκίστρῳ, καταδύει αὐτὸν εἰς βυθὸν καὶ ὠθεῖ καὶ προσαράττει τῷ δαπέδῳ καὶ κρούει τὸ στόμα, ἐκβαλεῖν τὸ ἄγκιστρον ἐθέλων· εἰ δὲ ἀδύνατον τοῦτο εἴη, εὐρύνει τὸ τραῦμα καὶ ἐκπτύεται τὸ λυποῦν αὐτὸν καὶ ἐξάλλεται.*

[e] *H.* ii. 141 n. [f] *H.* i. 146 n.

[g] *H.* i. 103 n. [h] *H.* i. 151 n.

Λαιψηραὶ δ' ἀμίαι καὶ ἀλώπεκες εὖτ' ἂν ἔχωνται,
εὐθὺς ἄνω σπεύδουσιν ὑποφθαδόν, αἶψα δὲ μέσσην
ὁρμιὴν ὑπ' ὀδοῦσι διέτμαγον ἠὲ καὶ ἄκρας
χαίτας· τοὔνεκα τῇσιν ἐχαλκεύσανθ' ἁλιῆες
καυλὸν ἐπ' ἀγκίστρῳ δολιχώτερον, ἄρκος ὀδόντων.
Ναὶ μὴν καὶ νάρκη σφέτερον νόον οὐκ ἀπολείπει
πληγῇ ἀνιάζουσα· τιταινομένη δ' ὀδύνῃσιν
ὁρμιῇ λαγόνας προσπτύσσεται· αἶψα δὲ χαίτης
ἱππείης δόνακός τε διέδραμεν ἔς θ' ἁλιῆος
δεξιτερὴν ἔσκηψε φερώνυμον ἰχθύος ἄλγος·
πολλάκι δ' ἐκ παλάμης κάλαμος φύγεν ὅπλα τε θήρης.
τοῖος γὰρ κρύσταλλος ἐνίζεται αὐτίκα χειρί.

---

[a] *Il.* ii. 554 n. A. 621 a 16, immediately after the allusion to the Fox-shark quoted in next note, adds *συστρέφονται δὲ καὶ αἱ ἅμιαι, ὅταν τι θηρίον ἴδωσι, καὶ κύκλῳ αὐτῶν περινέουσιν αἱ μέγισται, κἂν ἅπτηταί τινος ἀμύνουσιν· ἔχουσι δ' ὀδόντας ἰσχυρούς, καὶ ἤδη ὦπται καὶ ἄλλα καὶ λάμια ἐμπεσοῦσα καὶ καθελκωθεῖσα.* Ael. i. 5 describes *ὁ ἰχθὺς ὁ τρώκτης*, by which he clearly means the Amia: *ἁλοὺς ἀγκίστρῳ μόνος ἰχθύων ἐς τὸ ἔμπαλιν ἑαυτὸν οὐκ ἐπανάγει ἀλλ' ὠθεῖται, τὴν ὁρμιὰν ἀποθερίσαι διψῶν, οἱ δὲ ἁλιεῖς σοφίζονται τὰ ἐναντία· τὰς γάρ τοι τῶν ἀγκίστρων λαβὰς χαλκεύονται μακράς κτλ.*; Plut. *Mor.* 977 A *τῶν δ' ἀγκίστρων τοῖς μὲν στρογγύλοις ἐπὶ κεστρέας καὶ ἀμίας χρῶνται μικροστόμους ὄντας· τὸ γὰρ εὐθύτερον εὐλαβοῦνται.*

[b] *Il.* i. 381 n. *Cf.* A. 621 a 6 *ἣν δὲ καλοῦσι σκολόπενδραν, ὅταν καταπίῃ τὸ ἄγκιστρον, ἐκτρέπεται τὰ ἐντὸς ἐκτός, ἕως ἂν ἐκβάλῃ τὸ ἄγκιστρον· εἶθ' οὕτως εἰστρέπεται πάλιν ἐντός. . . . τῶν δ' ἰχθύων αἱ ὀνομαζόμεναι ἀλώπεκες ὅταν αἴσθωνται ὅτι τὸ ἄγκιστρον καταπεπώκασιν, βοηθοῦσι πρὸς τοῦτο ὥσπερ καὶ ἡ σκολόπενδρα· ἀναδραμοῦσα γὰρ ἐπὶ πολὺ πρὸς τὴν ὁρμιὰν ἀποτρώγουσιν αὐτῆς· ἁλίσκονται γὰρ περὶ ἐνίους τόπους πολυαγκίστροις ἐν ῥοώδεσι καὶ βαθέσι τόποις*; Plin. ix. 145 Scolopendrae . . . hamo devorato omnia interanea evomunt, donec hamum

The swift Amia [a] and the Fox-sharks,[b] when they are hooked, straightway hasten upward to forestall the fisher and speedily bite through with their teeth the middle of the line or the extreme hairs. Therefore for them the fishermen forge a longer socket on the hook, as a protection against their teeth.

The Cramp-fish,[c] moreover, forgets not its cunning in the pain of being struck, but straining in its agony it puts its flanks against the line, and straightway through the horse-hair and through the rod [d] runs the pain which gives the fish its name [e] and lights in the right hand of the fisher; and often the rod and the fishing-tackle escape from his palm. Such icy numbness straightway settles in his hand.

egerant, deinde resorbent. At vulpes marinae simili in periculo gluttiunt amplius usque ad infirma lineae qua facile praerodant; Ael. *V.H.* i. 5 (*ἡ ἀλώπηξ ἡ θαλαττία*) *ἀνέθορε καὶ ἀπέκειρε τὴν ὁρμιὰν καὶ νήχεται αὖθις*; Antig. 49 *τὰς δὲ καλουμένας ἀλώπεκας, ὅταν αἴσθωνται ὅτι τὸ ἄγκιστρον καταπεπώκασιν, ἀναδραμούσας ἄνωθεν τῆς ὁρμιᾶς ἀποτρώγειν*. But Ael. *N.A.* ix. 12 *ἡ γὰρ οὐ πρόσεισι τῷ ἀγκίστρῳ τὴν ἀρχὴν ἢ καταπιοῦσα παραχρῆμα ἑαυτῆς τὸ ἐντὸς μετεκδῦσα ἔστρεψεν ἔξω, ὥσπερ οὖν χιτῶνα τὸ σῶμα ἀνελίξασα, καὶ τοῦτον δήπου τὸν τρόπον ἐξεώσατο τὸ ἄγκιστρον*; Plut. *Mor.* 977 B *ἡ δ' ἀλώπηξ οὐ πολλάκις μὲν ἀγκίστρῳ πρόσεισιν ἀλλὰ φεύγει τὸν δόλον, ἁλοῦσα δ' εὐθὺς ἐκτρέπεται· πέφυκε γὰρ δι' εὐτονίαν καὶ ὑγρότητα μεταβάλλειν τὸ σῶμα καὶ στρέφειν, ὥστε τῶν ἐντὸς ἐκτὸς γενομένων ἀποπίπτειν τὸ ἄγκιστρον.*

[c] *H.* ii. 56 n.

[d] Ael. ix. 14 *εἴ τις προσάψαιτο τῆς νάρκης ὅτι τὸ ἐκ τοῦ ὀνόματος πάθος τὴν χεῖρα αὐτοῦ καταλαμβάνει, τοῦτο καὶ παιδάριον ὢν ἤκουσα τῆς μητρὸς λεγούσης πολλάκις, σοφῶν δὲ ἀνδρῶν ἐπυθόμην ὅτι καὶ τοῦ δικτύου ἐν ᾧ τεθήραται εἴ τις προσάψαιτο ναρκᾷ πάντως.* *Cf.* Plut. *Mor.* 978 B-C; Athen. 314 c.

[e] *i.e. νάρκη*, cramp: *cf.* Ael. *l.c.* and i. 36 *ὁ ἰχθὺς ἡ νάρκη ὅτου ἂν καὶ προσάψηται τὸ ἐξ αὐτῆς ὄνομα ἔδωκέ τε καὶ ναρκᾶν ἐποίησεν*; Athen. 314 b *ἡ δὲ κλῆσις αὐτῆς καὶ παρ' Ὁμήρῳ* [*Il.* viii. 328] "*νάρκησε δὲ χεὶρ ἐπὶ καρπῷ.*"

Σηπίαι αὖ τοίῃσι δολοφροσύνῃσι μέλονται.
ἔστι τις ἐν μήκωσι θολὸς κείνῃσι πεπηγὼς
κυάνεος, πίσσης δνοφερώτερος, ἀχλύος ὑγρῆς
φάρμακον ἀπροτίοπτον, ὅ τε σφίσιν ἄλκαρ ὀλέθρου
ἐντρέφεται· τὰς δ' εὖτ' ἂν ἕλῃ φόβος, αὐτίκα κείνου
ὀρφναίας ῥαθάμιγγας ἀνήμεσαν, ἀμφὶ δὲ πόντου
πάντα πέριξ ἐμίηνε καὶ ἠμάλδυνε κέλευθα
ἰχὼρ ἀχλυόεις, ἀνὰ δ' ἔτραπε πᾶσαν ὀπωπήν·
αἱ δὲ διὰ θολόεντος ἄφαρ φεύγουσι πόροιο
ῥηϊδίως καὶ φῶτα καὶ εἴ ποθι φέρτερον ἰχθύν.
Ταῖς δ' ἴσα τεχνάζουσι καὶ ἠερόφοιτα γένεθλα
τευθίδος· οὐ δ' ἄρα τῇσι μέλας θολὸς ἀλλ' ὑπερευθὴς
ἐντρέφεται, μῆτιν δὲ πανείκελον ἐντύνονται.
Τοίοις μὲν φρονέουσι νοήμασιν· ἀλλὰ καὶ ἔμπης
ὄλλυνται πυκινῇσιν ἐπιφροσύναις ἁλιήων.
τοὺς μὲν δὴ πελάγεσσιν ἐν ἠλιβάτοισι θέοντας
ῥηϊδίως ἐρύουσιν· ἐπεὶ σφίσιν οὔτι νόημα
ποικίλον· ἤδη γάρ τις ἐπέσπασε καὶ κρομύοισι
γυμνοῖς τ' ἀγκίστροισιν ἑλὼν πελαγοστρόφον ἰχθύν.
ὅσσοι δ' αὖ γαίης ἁλιερκέος ἄγχι νέμονται,
τοῖσι μὲν ὀξύτερος πέλεται νόος, ἀλλὰ καὶ αὐτῶν

---

[a] *Il.* ii. 121 n.

[b] A. 524 b 15 τοῦτον (*sc.* τὸν θόλον) δὲ πλεῖστον αὐτῶν (*sc.* τῶν μαλακίων) καὶ μέγιστον ἡ σηπία ἔχει· ἀφίησι μὲν οὖν ἅπαντα, ὅταν φοβηθῇ, μάλιστα δὲ ἡ σηπία; *cf.* *P.A.* 679 a 4 ff. But it is not only through fear that it employs this artifice: A. 621 b 28 τῶν δὲ μαλακίων πανουργότατον μὲν ἡ σηπία καὶ μόνον χρῆται τῷ θόλῳ κρύψεως χάριν καὶ οὐ μόνον φοβουμένη· ὁ δὲ πολύπους καὶ ἡ τευθὶς διὰ φόβον ἀφίησι τὸν θόλον; Plut. *Mor.* 978 A; Ael. i. 34; Phil. 105; Plin. ix. 84; Cic. *N.D.* ii. 50, 127; Ov. *Hal.* 18 Sepia tarda fugae, tenui cum forte sub unda | Deprensa est iam iamque manus timet illa rapaces,— Inficiens aequor nigrum vomit ore cruorem | Avertitque vias, oculos frustrata sequentes.

The Cuttle-fishes [a] again practise this craft.[b] They have seated in their heads a dark muddy fluid blacker than pitch, a mysterious drug causing a watery cloud, which is their natural defence against destruction. When fear seizes them, immediately they discharge the dusky drops thereof and the cloudy fluid stains and obscures all around the paths of the sea and ruins all the view; and they straightway through the turbid waters easily escape man or haply mightier fish.

A like craft is practised also by the air-travelling [c] tribes of the Calamary.[d] Only their fluid is not black but reddish,[e] but the device which they employ is altogether similar.

Such are the cunning devices [f] of fishes; yet notwithstanding they perish by the subtle wiles of fishermen. Those which run in the sheer depths of the sea the fishers capture easily, since they possess no subtle craft. For ere now one has caught and landed a deep-sea fish with onions [g] or with bare hooks. Those on the other hand which range near the sea-girding land have sharper wits; yet even of these

[c] Schol. *ἠερόφοιτα· ἀέρι πετόμενα· τὰς τευθίδας φησὶν ἠερόφοιτα γένεθλα ὡς ἐν τῷ ἀέρι φοιτῶντα· πέτονται γὰρ καὶ διὰ τοῦ ἀέρος φέρονται ὡς ὑπόπτερα· τευθίδες δ' εἰσὶ τὰ κοινῶς λεγόμενα καλαμάρια.* One might be tempted to take the sense to be "travelling in darkness" like Homer's *ἠερόφοιτος* 'Ερινύς (*Il.* ix. 571), but the reference is no doubt, as the schol. takes it, to its flying habits; *cf. H.* i. 427 ff.; Epicharm. *ap.* Athen. 318 e *ποταναὶ τευθίδες.*

[d] *H.* i. 428 n. *Cf.* note on v. 156 above.

[e] Athen. 326 b *ἔχει δὲ (ἡ τευθὶς) καὶ θόλον . . . οὐ μέλανα ἀλλ' ὠχρόν.* But Ov. *Hal.* 129 Et nigrum niveo portans in corpore virus | Loligo.

[f] *Cf. H.* i. 7.

[g] On baits in general see A. 534 a 11–534 b 10; 591 a-b.

βαιοὶ μὲν καρῖσιν ἀφαυροτέραις ἐρύονται,
πουλυπόδων θυσάνοις ἢ καρκίνῳ ἀμφιχανόντες
καρκινάσιν τ᾽ ὀλίγῃσι καὶ εἰ κρέας ἁλμυρὸν ἅπτοις
πετραίαις θ᾽ ἑλμῖσι καὶ ὅττι τοι ἄγχι παρείη
ἰχθυόεν· βαιοὺς δ᾽ ἐπὶ μείζοσιν ὁπλίζοιο·
δείπνοις γὰρ γελόωντες ἐπισπεύδουσιν ὄλεθρον·
ἦ γὰρ ἀεὶ πλωτῶν σιφλὸν γένος ὑγρὰ θεόντων.
θύννον μὲν κορακῖνος ἄγει, λάβρακα δὲ καρὶς
πιαλέη, χάννος δὲ φίλον φάγροισι δέλετρον
καὶ βῶκες συνόδοντι καὶ ἱππούροισιν ἴουλοι·
τρίγλη δ᾽ ὀρφὸν ἔπεφνε καὶ ἔσπασε κιρρίδα πέρκη,
μαινίδι δὲ χρύσοφρυς ἀνέλκεται· αὐτὰρ ἀνιγραὶ
μύραιναι μετὰ σάρκας ἐπειγόμεναι φορέονται
πουλυπόδων· ὅσσοι δὲ δέμας περίμετρον ἔχουσι,
θύννῳ μὲν κάλλιχθυς ἰαίνεται, αὐτὰρ ὀνίσκοις
ὄρκυνος, λάβρακα δ᾽ ἐπ᾽ ἀνθίῃ ὁπλίζοιο,
ἵππουρον ξιφίῃ, γλαύκῳ δ᾽ ἔπι κεστρέα πείροις·

---

[a] *H.* i. 320 ff.

[b] A. 534 a 16 ἔτι δὲ πολλοὶ τῶν ἰχθύων διατρίβουσιν ἐν σπηλαίοις, οὓς ἐπειδὰν βούλωνται προκαλέσασθαι πρὸς τὴν θήραν οἱ ἁλιεῖς, τὸ στόμα τοῦ σπηλαίου παραλείφουσι ταριχηραῖς ὀσμαῖς, πρὸς ἃς ἐξέρχονται ταχέως; Ael. xiii. 2 περιπείρει τῷ ἀγκίστρῳ γλυκόστομον ὄντα ἡμιτάριχον.

[c] A. 534 a 23 ff.

[d] One of the *Sciaenidae*, perhaps *Corvina nigra* Cuv.; "à Chalcis un vieux pêcheur m'a dit qu'on l'appelle Σκιὸς καλιακούδα, c'est-à-dire Corv. corneille," Apost. p. 13.

[e] *H.* ii. 130 n.

[f] *H.* i. 124 n.

[g] *C.* ii. 391 n.

[h] *Cf. H.* i. 110 where ἀμφότεροι βῶκες refers to the two species *Box boops* (*Box vulgaris*), M.G. βώπα or γοῦπα, and *Box salpa*, M.G. σάλπα (Apost. p. 17). They belong to the *Sparidae* or Sea-breams.

[i] *H.* iii. 610 n.

[k] *H.* ii. 434 n. For ἴουλος = ἰουλίς *cf.* Eratosth. *ap.* Athen. 284 d ἔτι ζώοντας ἰούλους.

the small fishes are caught with the feeble Prawn: they swallow tentacled Poulpe or Crab or tiny Hermit-crabs [a] or bait of salted flesh [b] or rock-haunting Worms or anything of the fishy kind [c] that may be at hand. The small fish thou shouldst use as bait for the larger; for rejoicing in the banquet they speed their own destruction; gluttonous verily always is the race of the swimming tribes that roam the water. The Crow-fish [d] attracts the Tunny, the fat Prawn attracts the Basse,[e] the Channus [f] is a bait beloved of the Braize,[g] as the Bogue [h] is to the Dentex [i] and the Rainbow-wrasse [k] to the Hippurus [l]; the Red Mullet [m] slays the Merou,[n] the Perch [o] catches the Cirrhis,[p] the Gilt-head [q] is landed by the Maenis [r]; while the baleful Muraena [s] haste after the flesh of the Poulpe.[t] As for those fishes which are of enormous size, the Beauty-fish [u] delights in the Tunny, the Orcynus [v] in the Oniscus [w]; while for the Anthias [x] thou shouldst array the Basse,[y] the Hippurus [z] for the Swordfish,[2a] and for the Glaucus [2b] thou shouldst impale the Grey Mullet.[2c] To entrap

[l] *H.* 404 n.
[m] *C.* ii. 392 n.
[n] *H.* i. 142 n.
[o] *H.* i. 124 n.
[p] *H.* i. 129.
[q] *H.* i. 169 n.
[r] Three species of the genus *Maena* occur in the Mediterranean: *M. vulgaris*, *M. osbeckii*, *M. jusculum*. σμαρίς (ἰσμαρίς), by which the schol. glosses μαινίς here and *H.* i. 108, is an allied genus (M.G. σμαρίς, μαρίς) of the same family *Maenidae* (Apost. p. 18). *Cf.* Ov. *Hal.* 120 Fecundumque genus maenae.
[s] *H.* i. 142 n.
[t] *H.* i. 306 n.
[u] Introd. p. lvii.
[v] *H.* iii. 132 n.
[w] *H.* i. 593 n.
[x] Introd. p. liii.
[y] *H.* ii. 130 n.
[z] *H.* iv. 404 n.
[2a] *H.* ii. 462 n.
[2b] Introd. p. lxi.
[2c] *H.* ii. 642 n.

ἄλλῳ δ' ἀλλοίην γενεὴν ἐπιτεχνάζοιο,
κρέσσονι χειροτέρην· ἐπεὶ ἦ μάλα πάντες ἔασιν
ἀλλήλοις φορβή τε φίλη καὶ λίχνος ὄλεθρος.
ὣς οὐδὲν λιμοῖο κακώτερον οὐδὲ βαρείης
γαστέρος, ἣ κρατέει μὲν ἐν ἀνθρώποισιν ἀπηνὴς
καὶ χαλεπὴ δέσποινα συνέστιος, οὔποτε δασμῶν
ληθομένη, πολλοὺς δὲ παρασφήλασα νόοιο
εἰς ἄτην ἐνέηκε καὶ αἴσχεσιν ἐγκατέδησε·
γαστὴρ δὲ θήρεσσι καὶ ἑρπυστῆρσιν ἀνάσσει
ἠερίῃς τ' ἀγέλῃσι, τὸ δὲ πλέον ἐν νεπόδεσσι
κάρτος ἔχει· κείνοις γὰρ ἀεὶ μόρος ἔπλετο γαστήρ.
  Ἀνθιέων δὲ πρῶτα περίφρονα πεύθεο θήρην,
οἵην ἡμετέρης ἐρικυδέος ἐντύνονται
πάτρης ἐνναετῆρες ὑπὲρ Σαρπηδόνος ἀκτῆς
ὅσσοι θ' Ἑρμείαο πόλιν, ναυσίκλυτον ἄστυ
Κωρύκιον, ναίουσι καὶ ἀμφιρύτην Ἐλεοῦσαν.
πέτρας μὲν κείνας τεκμαίρεται ἐγγύθι γαίης
ἴδρις ἀνήρ, οἵῃσιν ὕπ' ἀνθίαι αὐλίζονται,
ἀντροφυεῖς, κευθμῶσι διαρρῶγας θαμέεσσι·
δουρὶ δ' ἀναπλώσας πινάκων ἐριηχέα τεύχει
δοῦπον ἐπικροτέων· πατάγῳ θ' ἐπιτέρπεται ἦτορ
ἀνθιέων· καί πού τις ἀνέδραμεν αὐτίκα λίμνης,
παπταίνων ἄκατόν τε καὶ ἀνέρα· τῷ δ' ἄρ' ἑτοίμας
πέρκας εὐθὺς ἵησιν ἐν οἴδμασιν ἢ κορακίνους

---

[a] Hom. *Od.* vii. 216 *οὐ γάρ τι στυγερῇ ἐπὶ γαστέρι κύντερον ἄλλο | ἔπλετο.*

[b] Introd. p. liii.

[c] Introd. p. xix.

[d] Promontory of Cilicia: Strabo 627 *Καλλισθένης δ' ἐγγὺς τοῦ Καλυκάδνου καὶ τῆς Σαρπηδόνος ἄκρας παρ' αὐτὸ τὸ Κωρύκιον ἄντρον (φησὶν) εἶναι τοὺς Ἀρίμους.* *Cf.* 670, 682; Ptolem. v. 8. 3; Plin. v. 92 mox flumen Calycadnus, promunturium Sarpedon.

[e] *A.P.* ix. 91 *Ἑρμῆ Κωρύκιον ναίων πόλιν.* *Cf.* Hicks,

other fish employ other breeds, the weaker as bait for the stronger ; since verily all fishes are welcome food to one another and gluttonous destruction. So true it is that naught is deadlier than hunger and the grievous belly,[a] which bears harsh sway among men and is a stern mistress to dwell with : who never forgets her tribute and who misleads the wits of many and casts them into ruin and binds them fast to shame. The belly bears sway over wild beasts and over reptiles and over the flocks of the air, but it has its greatest power among fishes ; for them evermore the belly proves their doom.

Hear first the cunning mode of taking the Anthias [b] which is practised by the inhabitants of our glorious fatherland [c] above the promontory of Sarpedon,[d] those who dwell in the city of Hermes,[e] the town of Corycus,[f] famous for ships, and in sea-girt Eleusa.[g] A skilful man observes those rocks near the land, under which the Anthias dwell : caverned rocks, cleft with many a covert. Sailing up in his boat he makes a loud noise by striking planks together ; and the heart of the Anthias rejoices in the din, and one haply rises presently from the sea, gazing at the boat and the man. Then the fisher straightway lets down into the waves the ready bait of Perch or Crowfish,

I.H.S. xii. p. 240 (metrical dedication of statues of Hermes and Pan from the Corycian cave). Hermes appears on coins of Corycus, Adana, Mallos.

[f] Seaport in Cilicia, N.-E. of Sarpedon, Strabo 670 *Κώρυκος ἄκρα, ὑπὲρ ἧς ἐν εἴκοσι σταδίοις ἐστὶ τὸ Κωρύκιον ἄντρον* ; Plin. v. 92 iuxtaque mare Corycos, eodem nomine oppidum et portus et specus ; Strabo 671 mentions *τὴν εὐπορίαν τῆς τε ναυπηγησίμου ὕλης καὶ τῶν λιμένων* in this region.

[g] Island off Cilicia : Strabo 671 *εἶθ' ἡ Ἐλαιοῦσσα νῆσος μετὰ τὴν Κώρυκον, προσκειμένη τῇ ἠπείρῳ* : 537 *τὴν Ἐλαιοῦσσαν νήσιον εὔκαρπον*. *Cf. ibid.* 535 ; Plin. v. 130.

ἀσπαλιεύς, πρώτης ὀρέγων ξεινήϊα φορβῆς.
αὐτὰρ ὅ γ' ἁρπάγδην κεχαρημένος εἰλαπινάζει
δαῖτα φίλην σαίνει τε δολόφρονα θηρητῆρα.
ὡς δὲ φιλοξείνοιο μετ' ἀνέρος οἰκία κέλσῃ
κλεινὸς ἀνὴρ ἢ χειρὸς ἐν ἔργμασιν ἠὲ νόοιο,
ἀσπασίως δ' ὅ μιν εἶδεν ἐφέστιον, εὖ δέ ἑ δώροις
εὖ τέ μιν εἰλαπίναις τε φιλοφροσύναις τ' ἀγαπάζει
παντοίαις· ἄμφω δὲ γεγηθότες ἀμφὶ τραπέζῃ
τέρπονται κρητῆρος ἀμοιβαίοις δεπάεσσιν·
ὧς ὁ μὲν ἀσπαλιεὺς κεχαρημένος ἐλπωρῇσι
μειδιάᾳ, δείπνοις δὲ νέοις ἐπιτέρπεται ἰχθύς.
ἔνθεν ἔπειθ' ὁ μὲν αἰὲν ἐπημάτιος ποτὶ πέτρην
στέλλεται, οὐδ' ἀνίησιν ἑὸν πόνον οὐδ' ἀπολείπει
δαῖτα φέρων· οἱ δ' αὐτίκ' ἀολλέες ἀμφαγέρονται
δαιτυμόνες κατὰ χῶρον, ἅτε κλητῆρος ἄγοντος.
αἰεὶ δὲ πλεόνεσσιν ἑτοιμοτέροις τε παρίσχει
φορβὴν ἁρπαλέην· οὐδέ σφισιν ἄλλα κέλευθα
οὐδ' ἄλλοι κεεθμῶνες ἐνὶ φρεσίν, ἀλλὰ μένοντες
αὐτοῦ δηθύνουσιν, ἅτε σταθμοῖσι νομήων
πώεα χειμερίοισιν ἐν ἤμασιν αὐλίζονται,
οὐδ' ὀλίγον σηκοῖο λιλαιόμενα προνέεσθαι.
οἱ δ' ὅτ' ἐσαθρήσωσιν ἀειρομένην ἀπὸ χέρσου
σπερχομένην τ' ἐλάταις ἄκατον τρόφον, αὐτίκα πάντες
ὀρθοὶ καγχαλόωντες ὑπεὶρ ἅλα δινεύοντες
ἱμερόεν παίζουσι καὶ ἀντιόωσι τιθήνῃ.
ὡς δ' ὁπότ' ἀπτήνεσσι φέρῃ βόσιν ὀρταλίχοισι
μήτηρ, εἰαρινοῦ ζεφύρου πρωτάγγελος ὄρνις,
οἱ δ' ἁπαλὸν τρύζοντες ἐπιθρώσκουσι καλιῇ
γηθόσυνοι περὶ μητρὶ καὶ ἱμείροντες ἐδωδῆς

[a] Ov. *F.* ii. 853 Fallimur, an veris praenuntia venit hirundo. The Swallow as herald of Spring is proverbial: Hes. *W.* 568; Aristoph. *Pax* 800, *Eq.* 419 σκέψασθε παῖδες· οὐχ ὁρᾶθ'; ὥρα νέα χελιδών.

offering a first meal of hospitality. The fish rejoices and greedily feasts on the welcome banquet and fawns upon the crafty fisherman. As to the house of a hospitable man there comes one famous for deeds of hand or head, and his host is glad to see him at his hearth and entreats him well with gifts and feast and all manner of loving-kindness; and at the table both rejoice and take their pleasure in pledging cup for cup; even so the fisher rejoices in hope and smiles while the fish delights in new banquets. Thenceforward the fisherman journeys to the rock every day and relaxes not his labour and ceases not to bring food. And straightway the Anthias gather all together in the place to feast, as if a summoner brought them. Always for more and readier fishes he provides the coveted food, and they have no thought of other paths or other retreats, but there they remain and linger, even as in the winter days the flocks abide in the steadings of the shepherds and care not to go forth even a little from the fold. And when the fishes descry the boat that feeds them starting from the land and speeding with the oars, immediately they are all alert and gaily they wheel over the sea, sporting delightfully, and go to meet their nurse. As when the mother Swallow, the bird that first heralds [a] the West Wind [b] of Spring, brings food to her unfledged nestlings and they with soft cheeping leap for joy about their mother in the nest

[b] The "genitabilis aura Favoni" Lucret. i. 11; *cf.* v. 735 It ver et Venus et Veneris praenuntius ante | Pennatus graditur Zephyrus; Plin. ii. 122 Favonium quidam a.d. viii kalendas Martii chelidoniam vocant ab hirundinis visu. The Swallow (*Hirundo rustica*) arrives in Attica about the second week of March, Mommsen, *Griechische Jahreszeiten*, p. 254.

χεῖλος ἀναπτύσσουσιν, ἅπαν δ' ἐπὶ δῶμα λέληκεν
ἀνδρὸς ξεινοδόκοιο λίγα κλάζουσα νεοσσοῖς·
ὣς οἵ γε θρεπτῆρος ἐναντίον ἐρχομένοιο
γηθόσυνοι θρώσκουσι, χοροιτύπον ὥστ' ἀνὰ κύκλον.
τοὺς δ' ἁλιεὺς βρώμησιν ἐπασσυτέρῃσι λιπαίνων
χειρί τ' ἐπιψαύων χειρός τ' ἄπο δῶρα τιταίνων
πρηΰνει φίλον ἦτορ· ἄφαρ δέ οἱ ἠΰτ' ἄνακτι
πείθονται, καὶ χειρὸς ὅπῃ νεύσειε μύωπι
ῥίμφα διαΐσσουσιν· ὁ δ' ἄλλοτε νηὸς ὄπισθεν
ἄλλοτε δὲ πρόσσω, ποτὲ δὲ σχεδὸν ἠπείροιο
πέμπει δεξιτερήν· τοὺς δ' ὄψεαι ἠΰτε παῖδας
ἀνδρὸς ἐπιφροσύνῃσι παλαισμοσύνης ἀνὰ χῶρον
τῇ καὶ τῇ θύνοντας, ἐπίσκοπος ἔνθα κελεύει.
ἀλλ' ὅτε οἱ κομιδῆς μὲν ἅλις, θήρῃ δὲ μέληται,
δή ῥα τόθ' ὁρμιὴν μὲν ἀναψάμενος χερὶ λαιῇ
ἕζεται, ἀγκίστρου δὲ βέλος κρατερόν τε θοόν τε
ὁπλίζει, καὶ τοὺς μὲν ἀπέτραπε χειρὶ κελεύων
πάντας ὁμῶς ἢ λᾶαν ἑλὼν ἔρριψε καθ' ὕδωρ·
οἱ δ' ἐπὶ τῷ δύνουσιν, ὀϊόμενοι βόσιν εἶναι·
τῶν δ' ἕνα μοῦνον ἔλειπεν ἀπόκριτον, ὅν κ' ἐθέλῃσι,
δύσμορον, ὑστατίοισι κεχαρμένον ἐν δείπνοισι·
ἄγκιστρον μὲν ὄρεξεν ὑπεὶρ ἁλός· αὐτὰρ ὅ γ' ἄτην
καρπαλίμως ἥρπαξεν, ὁ δ' ἔσπασεν ἀμφοτέρῃσι
θερμὸς ἀνήρ, ὠκεῖαν ἑλὼν καὶ ἐπίκλοπον ἄγρην·
λήθει δ' ἀνθιέων ἄλλον χορόν· ἢν γὰρ ἴδωνται
ἢ σμαραγὴν ἀΐωσι δυσαγρέος ἑλκομένοιο,
οὐκέτι οἱ τόσα δεῖπνα παρέσσεται, ὥς κεν ἵκοιντο
αὖτις ὑποτροπάδην, ἀπὸ δ' ἔπτυσαν ἐχθήραντες
καὶ κομιδὴν καὶ χῶρον ὀλέθριον· ἀλλά τις εἴη

[a] Apost. p. 39 " Pour faire tomber les Athérines dans le piège le pêcheur promène sur l'eau un morceau d'étoffe noire

and open their beaks in their desire for food, and all the house of some hospitable man resounds with the shrill crying of the mother bird; even so the fishes leap joyfully to meet their feeder as he comes, even as in the circle of a dance. And the fisherman fattening them with dainty after dainty and with his hand stroking them and proffering them his gifts from his hand, tames their friendly heart, and anon they obey him like a master, and wheresoever he indicates with his finger,[a] there they swiftly rush. Now behind the boat, now in front, now landward he points his hand; and thou shalt see them, like boys in a place of wrestling, according to the wisdom of a man, rushing this way or that as their master bids. But when he has tended them enough and bethinks him of taking them, then he seats himself with a line in his left hand and fits thereto a hook, strong and sharp. Then all the fishes alike he turns away, commanding them with his hand, or he takes a stone and casts it in the water, and they dive after it, thinking it to be food. One picked fish alone he leaves, whichsoever he will—unhappy fish, rejoicing in a banquet which is to be its last. Then he reaches down the hook over the sea and the fish swiftly seizes its doom; and the bold fisher draws it in with both hands, winning a speedy prey by his cunning. And he avoids the notice of the rest of the company of Anthias; for if they see or hear the din of the unhappy victim being landed, then the fisher will never more have banquets enough to tempt the fishes to return, but they spurn with loathing both his attentions and the place of destruction.

attaché au bout d'un long roseau, qu'il tient de la main droite. Les poissons le suivent en grand nombre, et de la main le pêcheur leur montre en quelque sorte le chemin à prendre."

ἴφθιμος, κρατερῶς δὲ βιησάμενός μιν ἀνέλκοι,
ἢ καὶ δεύτερος ἄλλος ἐφαπτέσθω καμάτοιο·
ὧδε γὰρ οὐ φρονέοντες ἑὴν δολομήχανον ἄτην
αὐτοὶ πιανθέντες ἐοικότα πιαίνουσιν·
αἰεὶ δ᾽, εὖτ᾽ ἐθέλησθα, παρέσσεται εὔστοχος ἄγρη.
  Ἄλλοι δ᾽ ἰφθίμῳ τε βίῃ καὶ κάρτεϊ γυίων
πειθόμενοι μέγαν ἆθλον ἐπ᾽ ἀνθίῃ ὁπλίζονται,
οὐ φιλίην, οὐ σῖτα πονεύμενοι, ἀλλ᾽ ἐς ἀκωκὴν
ἀγκίστρου σπεύδουσι καὶ ἠνορέῃ βιόωνται.
χαλκοῦ μὲν σκληροῖο τετυγμένον ἠὲ σιδήρου
ἄγκιστρον πέλεται, δίχα δὲ γλωχῖνες ἔχουσιν
ἀμφίδυμοι μέγα πεῖσμα λινόστροφον· ἀμφὶ δ᾽ ἄρ᾽ αὐτῷ
λάβρακα ζώοντα παρήλασαν, εἴ σφι παρείη·
εἰ δὲ θάνοι, τάχα οἵ τις ὑπὸ στόμα θῆκε μόλιβδον,
δελφῖν᾽ ὃν καλέουσιν· ὁ δὲ βρίθοντι μολίβδῳ
κλίνει τ᾽ ἀγκλίνει τε κάρη ζώοντι ἐοικώς.
θῶμιξ δὲ κρατερή τε καὶ εὔπλοκος· ἀλλ᾽ ὅτε δοῦπον
ἀνθίαι εἰσαΐοντες ἀναθρώξωσι θαλάσσης,
ἄλλοις μὲν μέλεται κώπης πόνος, αὐτὰρ ὅ γ᾽ ἄκρης
ἐκ πρύμνης ἁλιεὺς δόλον ἀγκύλον εἰς ἅλα πέμπει,
ἧκ᾽ ἀναδινεύων· οἱ δ᾽ αὐτίκα πάντες ἕπονται
νηΐ τε καὶ φεύγοντι δεδορκότες εἴκελον ἰχθὺν
σπεύδοντες μετὰ δαῖτα παραφθαδὸν ἀΐσσουσιν
ἀλλήλων· φαίης κεν ἐπ᾽ ἀνέρα δήϊον ἄνδρα
γούνατ᾽ ἐλαφρίζειν πεφοβημένον· οἱ δ᾽ ἄρα νίκης
ἐσθλῆς ἱμείρουσιν· ὁ δ᾽ ἔξοχον ὅν κεν ἴδηται
ἀσπαλιεύς, τῷ δαῖτα παρέσχεθεν· αὐτὰρ ὁ λάβρως
δῶρα χανὼν δύσδωρα μετέδραμεν· ἔνθεν ἔπειτα
ἀλκὴν ἀμφοτέρων θηήσεαι, οἷος ἄεθλος
μαρναμένων ἀνδρός τε καὶ ἰχθύος ἑλκομένοιο·
τοῦ μὲν γὰρ σθεναροί τε βραχίονες ἠδὲ μέτωπα

But the fisher should be a powerful man and land his fish by force of strength or else a second man should lend a hand in his labour. For so, unwitting of their crafty doom, fattened themselves they fitly fatten others; and always when thou wilt, successful fishing shall be thine.

Others trust in their valiant might and strength of limb when they array the great adventure against the Anthias, not cultivating friendship nor proffering food but having recourse at once to the pointed hook and overcoming the fish by their valour. The hook is fashioned of hard bronze or iron, and two separate barbs are attached to the great rope of twisted flax. On it they fix a live Basse—if a live one be at hand; but if it be a dead one, speedily one puts in its mouth a piece of lead, which they call a dolphin [a]; and the fish, under the weight of the lead, moves his head to and fro, as if alive. The line is strong and well-woven. When the Anthias hear the noise and leap from the sea, then some attend to the labour of the oar, while the fisherman from the stern-end lets down the crooked snare into the sea, gently waving it about. And the fishes all straightway follow the ship and seeing before their eyes what seems to be a fleeing fish, they rush in haste after the banquet, each striving to outstrip the other: thou wouldst say it was a foeman plying swift knees in pursuit of a routed foe: and they are eager for goodly victory. Now whichever fish the fisher sees to be best, to it he offers the banquet, and with eager gape it rushes after the gift that is no gift. Thereupon thou shalt see the valour of both, such a struggle there is as man and captive fish contend. His strong arms and

[a] *H.* iv. 81 n.

ὦμοί τ᾽ αὐχένιοί τε παρασφύριοί τε τένοντες
ἀλκῇ κυμαίνουσι καὶ ἠνορέῃ τανύονται·
αὐτὰρ ὅ γ᾽ ἀσχαλόων ὀδύνης ὕπο μάρναται ἰχθύς,
ἕλκων αὖ ἐρύοντα, βιώμενος εἰς ἅλα δῦναι,
ἄσχετα μαιμώων· ὁ δὲ κέκλεται ἄνδρας ἑταίρους
ἐμπίπτειν ἐλάτῃσι· διωκομένης δ᾽ ἀκάτοιο
ἔμπαλιν ἐκ πρύμνης ὅλος ἕλκεται ἰχθύος ὁρμῇ·
κλάζει δ᾽ ὁρμιή, χειρὸς δ᾽ ἀπολείβεται αἷμα
πριομένης· ὁ δ᾽ ἄρ᾽ οὔτι βαρὺν μεθίησιν ἀγῶνα.
ὡς δὲ δύω μεμαῶτες ὑπέρβιοι ἀνέρες ἀλκὴν
ἅμματ᾽ ἐπ᾽ ἀλλήλοισι τιταινόμενοι βιόωνται
ἑλκῦσαι, ῥιπῇσιν ὀπισθοφόροις ἐρύοντες,
δηρόν τ᾽ ἀμφότεροι καμάτων ἴσα μέτρα φέροντες
ἐμμενέως ἕλκουσι καὶ ἐμμενέως ἐρύονται·
ὣς τοῖς, ἰχθυβόλῳ τε καὶ ἰχθύϊ, νεῖκος ὄρωρε,
τοῦ μὲν ἀπαΐξαι, τοῦ δ᾽ ἑλκέμεν ἱμείροντος.
οὐ μέν μιν λείπουσιν ἐν ἄλγεσιν ἰχθύες ἄλλοι
ἀνθίαι ἀλλ᾽ ἐθέλουσιν ἀμυνέμεν, ἐν δέ οἱ αὐτῷ
νῶτα βίῃ χρίμπτουσι καὶ ἐμπίπτουσιν ἕκαστος,
ἄφρονες, οὐδ᾽ ἐνόησαν ἑὸν τείροντες ἑταῖρον.
πολλάκι καὶ θώμιγγα λιλαιόμενοι γενύεσσι
ῥῆξαι ἀμηχανόωσιν, ἐπεὶ στόμα τοῖσιν ἄοπλον.
ὀψὲ δέ μιν καμάτῳ τε καὶ ἄλγεσι μοχθίζοντα
πυκναῖς τ᾽ εἰρεσίῃσι βιώμενος ἔσπασεν ἀνήρ·

---

[a] So of a fisherman Theocr. i. 42 f. φαίης κα γυίων νιν ὅσον σθένος ἐλλοπιεύειν· | ὧδέ οἱ ᾠδήκαντι κατ᾽ αὐχένα πάντοθεν ἶνες.

[b] ἅμματα is not = σχοινία (ropes), as the schol. interprets, but the hold or grasp of the wrestler. *Cf.* Plut. *Alcib.* ii. ἐν μὲν γὰρ τῷ παλαίειν πιεζούμενος ὑπὲρ τοῦ μὴ πεσεῖν ἀναγαγὼν πρὸς τὸ στόμα τὰ ἅμματα τοῦ πιεζοῦντος οἷος ἦν διαφαγεῖν τὰς χεῖρας. ἀφέντος δὲ τὴν λαβὴν ἐκείνου καὶ εἰπόντος· "Δάκνεις, ὦ Ἀλκιβιάδη, καθάπερ αἱ γυναῖκες," "Οὐκ ἔγωγε," εἶπεν, "ἀλλ᾽ ὡς οἱ λέοντες"; *Fab.* xxiii. ὥσπερ ἀθλητὴς ἀγαθὸς ἐπαγωνι-

brows and shoulders and the sinews of his neck and ankles swell[a] with might and strain with valour; while the fish, chafing with pain, makes a fight, pulling against the pulling fisher, striving to dive into the sea, raging incontinently. Then the fisher bids his comrades plunge in their oars; and as the ship speeds forward, he on the stern is dragged bodily backward by the rush of the fish, and the line whistles, and the blood drips from his torn hand. But he relaxes not the grievous contest. As two keen men of mighty valour stretch their grasp[b] about one another and endeavour each to pull the other, hauling with backward strain; and long time both, enduring equal measure of toil, pull might and main and are pulled; even so between those, the fisher and the fish, strife arises, the one eager to rush away, the other eager to pull him in. Nor do the other Anthias fishes desert the captive in his agony but are fain to help him[c] and violently hurl their backs against him and fall each one upon him, foolishly, and know not that they are afflicting their comrade. Often also when they are fain to tear through the line with their jaws, they are helpless, since their mouth is unarmed.[d] At last when the fish is weary with labour and pain and the quick rowing, the man overpowers him and pulls him in.

ζόμενος τῷ Ἀννίβᾳ καὶ ῥᾳδίως ἀπολυόμενος αὐτοῦ τὰς πράξεις, ὥσπερ ἅμματα καὶ λαβὰς οὐκέτι τὸν αὐτὸν ἐχούσας τόνον.

[c] Ael. i. 4 *τούτων (τῶν ἀνθιῶν) γοῦν ἕκαστοι, ὅταν νοήσωσι τεθηρᾶσθαι τὸν σύννομον, προσνέουσιν ὤκιστα· εἶτα ἐς αὐτὸν τὰ νῶτα ἀπερείδουσιν καὶ ἐμπίπτοντες καὶ ὠθούμενοι τῇ δυνάμει κωλύουσιν ἕλκεσθαι*; Plut. *Mor.* 977 C *οἱ δ' ἀνθίαι τῷ συμφύλῳ βοηθοῦσιν ἰταμώτερον· τὴν γὰρ ὁρμιὰν ἀναθέμενοι κατὰ τὴν ῥάχιν καὶ στήσαντες ὀρθὴν τὴν ἄκανθαν ἐπιχειροῦσι διαπρίειν τῇ τραχύτητι καὶ διακόπτειν.*

[d] *i.e.*, toothless.

εἰ δ' ἄρα οἱ καὶ τυτθὸν ὑπείξεται, οὔ μιν ἔπειτα
ἑλκύσει· τοῖον γὰρ ὑπερφίαλον σθένος αὐτῷ.
πολλάκι δ' ὀξύπρωρον ὑπὲρ ῥάχιν ἔτμαγε δάψας
ὁρμιήν, ἀπὸ δ' ἦξε λιπὼν κενὸν ἀγρευτῆρα.
τοῖον καὶ κάλλιχθυς ἔχει σθένος ἠδὲ γενέθλη
ὀρκύνων ὅσσοι τε δέμας κητώδεες ἄλλοι
πλάζονται· τοίοις δὲ βραχίοσιν ἀγρώσσονται.
Ἄλλους δ' αὖ βρώμῃσι καὶ εἰλαπίνῃσι δολώσας
ἀγρώσσει ἁλιεύς· ἀγαθὸς δέ οἱ ἔσσεται ἰχθὺς
κάνθαρος, ὃς πέτρῃσιν ἀεὶ λεπρῇσι γέγηθε.
κύρτον δὲ πλέξαιο περίδρομον ὅττι μέγιστον,
τεύχων ἢ σπάρτοισιν Ἰβηρίσιν ἠὲ λύγοισι,
ῥάβδους ἀμφιβαλών· λευρὴ δέ οἱ εἴσοδος ἔστω
γαστήρ τ' εὐρυχανής· δέλεαρ δέ οἱ ἔνδον ἐνείης
πούλυπον ἑρπυστὴν ἢ κάραβον, ἐκ πυρὸς ἄμφω
ὀπταλέους· κνίσσῃ γὰρ ἐφέλκεται ἰχθύας εἴσω.
ὧδε μὲν ἐντύνας πλεκτὸν δόλον ἐγγύθι πέτρης
δόχμιον ἀγκλίνοις, ὕφαλον λόχον· αὐτίκα δ' ὀδμὴ
κάνθαρον ὀτρυνέει τε καὶ ἵξεται ἔνδοθι κύρτου,
οὐ μάλα θαρσαλέος πρώτην ὁδόν, ἀλλὰ τάχιστα
δαισάμενος παλίνορσος ἀπέδραμεν· ἔνθεν ἔπειτα
κυρτεὺς μὲν κείνοισιν ἀεὶ νεοτερπέα φορβὴν
ἐντίθεται· τοὺς δ' αἶψα δυσώνυμος ἐντὸς ἀγείρει
γαστήρ, ἄλλον δ' ἄλλος ἄγει σύνδορπον ἑταῖρον.
ἤδη δ' ἀτρομέοντες ἀολλέες ἔνδοθι κύρτου
ἀγρόμενοι πρόπαν ἦμαρ ἐνήμενοι, ὥστε μέλαθρον

---

[a] Introd. p. lvii. [b] *H*. iii. 132 n.

[c] *Cantharus griseus* (*Cantharus lineatus*), M.G. ἀσκάθαρος, βαγιοῦνο at Corfu (Apost. p. 18).

[d] Day i. p. 26 "Prefers rocky ground, feeding on the finer kinds of seaweeds. It is found in bays and harbours, and frequently captured by anglers fishing from the shore, rocks, or piers."

But if the fisher yield to him even a little, he cannot pull him in—so tremendous is his strength. Often he tears and cuts the line on his sharp spine and rushes away, leaving the fisherman empty-handed. A like strength is possessed by the Beauty-fish [a] and the race of the Orcynus [b] and others of monstrous body that roam the deep ; and even by such arms are they captured.

Others the fisherman catches with the wile of food and feast. A good fish will be the Black Sea-bream,[c] which ever rejoices in rough rocks.[d] Plait a round weel [e] as large as may be, fashioning it with Iberian broom [f] or withes and putting staves round it. Let the entrance be smooth and the belly yawning wide. As bait, put within it reptile Poulpe or Crayfish, in either case broiled [g] on the fire ; for the savour entices the fishes within. Having thus prepared the plaited deceit, lean it obliquely beside a rock, to be an ambush under the sea. And immediately the odour will rouse the Black Sea-bream and he will come within the weel, not very confident on his first journey, but with all haste he makes his meal and speeds away again. Thereafter the weel-fisher puts in the weel ever fresh pleasant food for them and ill-omened gluttony speedily gathers them within, and one fish brings another comrade to share the banquet. At length without fear they gather all together within the weel and remain sitting therein

[e] *H.* iii. 86 n.

[f] *C.* i. 156 n.

[g] A. 534 a 22 *καὶ ὅλως δὲ πρὸς τὰ κνισώδη πάντες φέρονται μᾶλλον. καὶ τῶν σηπιῶν δὲ τὰ σαρκία σταθεύσαντες ἕνεκα τῆς ὀσμῆς δελεάζουσι τούτοις· προσέρχονται γὰρ μᾶλλον. τοὺς δὲ πολύπους φασὶν ὀπτήσαντες εἰς τοὺς κύρτους ἐντιθέναι οὐδενὸς ἄλλου χάριν ἢ τῆς κνίσης.*

κτησάμενοι, μίμνουσι, κακὴν δ' εὕροντο καλιήν.
ὡς δ' ὁπότ' ὀρφανικοῖο μετ' ἠιθέοιο μέλαθρον
οὔτι σαοφροσύνῃσι μεμηλότες ἥλικες ἄλλοι
κλητοί τ' αὐτόμολοί τε πανήμεροι ἀγερέθωνται,
κτῆσιν ἀεὶ κείροντες ἀσημάντοιο δόμοιο,
οἷα νέους ἀνίησι χαλίφρονας ἄκριτος ἥβη,
ἐν δὲ κακοφροσύνῃσι κακὴν εὕραντο τελευτήν·
ὣς τοῖς ἀγρομένοισι παρασχεδὸν ἵσταται ἄτη.
ἡνίκα γὰρ πολλοί τε καὶ εὐλιπέες τελέθωσι,
δὴ τότ' ἀνὴρ κύρτοιο περὶ στόμα πῶμα καλύπτει
εὖ ἀραρός· τοὺς δ' ἔνδον ἐν ἕρκεϊ πεπτηῶτας
ὑστάτιον κνώσσοντας ἀνείρυσεν· ὀψὲ δ' ὄλεθρον
φρασσάμενοι σπαίρουσι καὶ ἐκδῦναι μεμάασι,
νήπιοι, οὐδ' ἔτι κύρτον ὁμῶς εὔοικον ἔχουσιν.
῎Αδμωσιν δ' ἐπὶ κύρτον ὀπωρινὸν ὁπλίζονται
ὀΐσυνον, μέσσοισι δ' ἐν οἴδμασιν ὁρμίζουσι,
νέρθεν ἀναψάμενοι τρητὸν λίθον εὐναστῆρα·
φελλοὶ δ' ὀχμάζουσιν ἄνω δόλον· ἐν δέ οἱ αἰεὶ
τέσσαρας ἀκταίους διεροὺς κάχληκας ἱεῖσι·
τοῖς δὲ διαινομένοισι περιτρέφεται γλαγόεσσα
μύξα θαλασσαίη, τῆς ἵμερος ἰχθύας ἕλκει
βαιούς, οὐτιδανούς, λίχνον γένος· οἱ δ' ἀγέρονται
κύρτον ἐπιπροθέοντες ἐν ἀγκοίνῃς τε μένουσιν.
ἄδμωες δ' ὁρόωντες ἔσω κοίλοιο μυχοῖο
ἀγρομένους τάχα πάντες ἐπί σφισιν ὡρμήθησαν,
δαιτὸς ἐελδόμενοι· τοὺς δ' οὐ κίχον, ἀλλ' ὑπόλισθον
ῥηϊδίως· οἱ δ' οὔτι καὶ ἱέμενοί περ ἔχουσιν
αὖτις ὑπεκδῦναι πλεκτὸν λόχον, ἀλλ' ἑτέροισι

[a] Admon or Admos, only here. Schol. ἄδμωσι· συακίοις, κατὰ τῶν ἀδμώνων· ἄδμωνες εἶδος ἰχθύος τῶν λεγομένων συακίων. This points to some species of Flat-fish, as in late Greek

all the day, as if they had acquired a house, and an evil nest they find it. As when to the house of a fatherless youth his age-fellows, who study not sobriety, gather all day bidden and unbidden, wasting evermore the possessions of the masterless house, in such practices as foolish young men are incited to by the waywardness of youth, and in their folly find an evil end; even so for the gathered fishes doom stands nigh at hand. For when they become many and fat, then the man puts a well-fitting cover on the mouth of the weel and takes captive the fishes huddling within the enclosure and sleeping their last sleep. Too late they perceive their doom and struggle and strive to get out—foolish fishes who find the weel no longer so pleasant a home.

Against the Admon [a] they prepare in autumn a weel of osiers and moor it in the midst of the waves, fastening to the bottom a bored stone [b] by way of anchor, while corks [c] support the trap above. In it they always put four wet stones from the beach. On the wet stones grows a milky slime of the sea, desire for which attracts the wretched little fishes, a greedy race, which gather and rush to the weel and remain in its embrace. The Admon, seeing them gathered within the hollow retreat, all speedily rush upon them, eager for a feast. But them they do not overtake: they easily slip away: but the Admon are nowise able, for all their endeavour, to escape again from the plaited ambush, but, preparing woe

σύαξ, συάκιον = *ψῆττα*. *Cf.* Du Cange *s. σιάκιον* and *s. σύαξ.*

[b] Hom. *Od.* xiii. 77 *πεῖσμα δ' ἔλυσαν ἀπὸ τρητοῖο λίθοιο* = *γρώνης χερμάδος* Lycophr. 20. *Cf.* Hesych. *s. γρώνους.* With *εὐναστῆρα cf. εὐναί* = anchors, Hom. *Il.* i. 436, etc.

[c] *H.* iii. 103 n.

πήματα πορσύνοντες ἐπί σφισιν εὗρον ὄλεθρον.
ὡς δέ τις ἐν ξυλόχοισιν ὀρέστερος ἀγροιώτης
θηρὶ πάγην ἤρτυνεν, ἀπηνέϊ δ' ἔνδοθι θυμῷ
δῆσε κυνὸς σφίγγων ἄπο μήδεα· τοῦ δ' ὀδύνῃσιν
ἠχήεις ὀρυμαγδὸς ἀπόπροθι τειρομένοιο
ἔρχεται, ἀμφὶ δέ οἱ στένεται δρίος· ἡ δ' ἀΐουσα
πόρδαλις ἰάνθη τε καὶ ἔσσυται, ἴχνος ἀϋτῆς
μαιομένη· τάχα δ' ἷξε καὶ ἔνθορε· τὸν μὲν ἔπειτα
ὑψόσ' ἀναρπάζει κρυπτὸς δόλος, ἡ δ' ἐνὶ βόθρῳ
εἱλεῖται προπεσοῦσα, μέλει δέ οἱ οὐκέτι δαιτός,
ἀλλὰ φόβου· τῇ δ' οὔτις ὑπέκδυσίς ἐστιν ἑτοίμη·
τοῖα καὶ ἄδμωες δειλοὶ πάθον, ἀντὶ δὲ φορβῆς
πότμον ἐφωρμήσαντο καὶ Ἄϊδος ἕρκος ἄφυκτον.
Καὶ μέν τις θρίσσῃσιν ὁμῶς καὶ χαλκίσιν ἄγρην
φράσσατ' ὀπωρινήν, καὶ λαρινὸν εἷλε καὶ ἔθνη
τραχούρων, κύρτον μὲν ὑπὸ σπάρτοισιν ὑφήνας
εὐπαγέως, φρυκτῶν δ' ὀρόβων ἐνεθήκατο μάζαν,
οἴνῳ μυδαλέην εὐώδεϊ, μίξε δὲ κούρης
δάκρυον Ἀσσυρίης Θειαντίδος, ἥν ποτέ φασι
πατρὸς ἐρασσαμένην δυσμήχανον ἔργον ἀνύσσαι
ἐλθεῖν τ' ἐς φιλότητα χολωσαμένης Ἀφροδίτης·

[a] *Cf. C.* iv. 217.

[b] *H.* i. 244 n.

[c] Schol. λαρινόν· τὸ λεγόμενον κύλας, εἶδος ἰχθύος; Hesych. *s.* λαρινός· ἰχθὺς ποιός. Not identified.

[d] Schol. τραχούρων· τρίχων and on *H.* i. 99 τραχούρων· ὅμοια πηλαμύσιν καὶ τῶν τριχαίων. Probably *Trachurus trachurus* Mor. (*Scomber trachurus* L.), M.G. σαυρίδι: "poisson très abondant et qui se pêche à partir des derniers jours du mois de mai jusqu'à la fin du mois de juin" (Apost. p. 14). Athen. 326 a; Ael. xiii. 27; Hesych. *s.* σισόρβακος, *s.* σκίθακος, *s.* σκίθαρκος; Galen, *De aliment. fac.* iii. 31; *cf.* σαῦροι *H.* i. 106 n.

[e] *Vicia ervilia.*

[f] *i.e.*, myrrh, the resinous exudation of *Balsamodendron myrrha.* "δάκρυ" is the regular expression in Greek for

for others, they find destruction for themselves. As when some hunter on the hills prepares a trap in the woods for a wild beast and with hard heart ties up a dog,[a] fastening him by a cord about his private parts; the loud howling of the dog in pain travels afar and the wood resounds about him; the Leopard hears and is glad and hastes to track the cry; swiftly she arrives and leaps upon the dog; then a hidden device snatches the dog aloft, while the Leopard rolls headlong in the pit, and has no more thought of feasting but of flight; but for it there is no escape prepared: even such is the fate of the hapless Admon and in place of food they rush upon their fate and the unescapable net of Hades.

In like fashion for the Shad[b] also and the Pilchard[b] one devises capture in the autumn and so one takes the Larinus[c] and the tribes of the Trachurus.[d] The fisherman weaves compactly a weel of broom and therein puts a cake of parched vetches,[e] moistened with fragrant wine, and mixes therewith the tear[f] of the Assyrian daughter of Theias[g]: who, they say, did a deed of ill contrivance for love of her father and came into his bed, through the anger of

such exudation: Herod. ii. 96 *τὸ δὲ δάκριον κόμμι ἐστίν*. *Cf.* A. 553 b 28; 623 b 29; *Meteor.* 388 b 19 *τὸ ἤλεκτρον καὶ ὅσα λέγεται ὡς δάκρυα . . . οἷον σμύρνα, λιβανωτός, κόμμι*: Theophrast. *H. P.* ix. 1. 2 *ὁ λίβανος καὶ ἡ σμύρνα, δάκρυα καὶ ταῦτα.*

[g] Apollodor. iii. 14. 4 *Θείαντος βασιλέως Ἀσσυρίων, ὃς ἔσχε θυγατέρα Σμύρναν. αὕτη κατὰ μῆνιν Ἀφροδίτης . . . ἴσχει τοῦ πατρὸς ἔρωτα καὶ ἀγνοοῦντι τῷ πατρὶ . . . συνευνάσθη. ὁ δὲ ὡς ᾔσθετο, σπασάμενος ξίφος ἐδίωκεν αὐτήν· ἡ δὲ περικαταλαμβανομένη θεοῖς εὔξατο ἀφανὴς γενέσθαι. θεοὶ δὲ κατοικτείραντες αὐτὴν εἰς δένδρον μετήλλαξαν, ὃ καλοῦσι σμύρναν.* In some versions the father is called Cinyras, the daughter Myrrha: Ov. *M.* x. 298 ff. She became mother of Adonis: Lycophr. 829 *Μύρρας ἐρυμνὸν ἄστυ, τῆς μογοστόκους | ὠδῖνας ἐξέλυσε δενδρώδης κλάδος.*

ἀλλ᾿ ὅτε μιν καὶ δένδρον ἐπώνυμον ἐρρίζωσεν
αἶσα θεῶν, γοάει τε καὶ ἣν ὀλοφύρεται ἄτην,
δάκρυσι δευομένη λέκτρου χάριν· ἧς ἐνιμίσγων
θεῖον ὀπὸν κύρτον μὲν ἐνορμίζει ῥοθίοισιν,
ὀδμὴ δ᾿ αἶψα θάλασσαν ἐπέδραμε λειριόεσσα,
κικλήσκουσ᾿ ἀγέλας πολυειδέας· οἱ δ᾿ ἐφέπονται
πνοιῇ νηδυμίῃ δεδονημένοι, ὦκα δὲ κύρτος
πίμπλαται, ἀγρευτῆρι φέρων εὔθηρον ἀμοιβήν.
Σάλπαι δ᾿ ἰκμαλέοις μὲν ἀεὶ φύκεσσι μάλιστα
τέρπονται, κείνῃ δὲ καὶ ἀγρώσσονται ἐδωδῇ.
πλώει μὲν προτέροισιν ἐν ἤμασιν εἰς ἕνα χῶρον
ἀσπαλιεύς, αἰεὶ δὲ μετ᾿ οἴδμασι λᾶας ἵησι
χερμάδας, ἁψάμενος πέρι φύκια τηλεθόωντα.
ἀλλ᾿ ὅτε δὴ πέμπτη μὲν ἴδῃ πόνον ἠριγένεια
σάλπαι δ᾿ ἀγρόμεναι κεῖνον πόρον ἀμφινέμωνται,
τῆμος ἐπεντύνει κύρτου δόλον· ἐν δέ οἱ εἴσω
φύκεσιν εἰλομένους λᾶας βάλεν, ἀμφὶ δὲ ποίας
εἰναλίας στομίοισιν ἐδήσατο, τῇσι γάνυνται
σάλπαι τ᾿ ἠδ᾿ ὅσσοι βοτανηφάγοι ἰχθύες ἄλλοι·
οἳ τότ᾿ ἀγειρόμενοι ποίας φάγον, αὐτὰρ ἔπειτα
ἐς μυχὸν ἠΐχθησαν· ὁ δ᾿ αὐτίκα κύρτον ἀνέλκει
ῥίμφα μεταπλώσας· σιγῇ δέ οἱ ἄνυται ἔργον,
ἀνδράσι τ᾿ ἀφθόγγοισι καὶ ἀσμαράγοις ἐλάτῃσι·
σιγὴ γὰρ πάσαις μὲν ὀφέλσιμος ἔπλετο θήραις,

---

[a] *Box salpa* (*Gen.* Box, *Fam.* Sparidae), M.G. σάλπα: Apost. p. 17; Plin. ix. 68.

[b] A. 591 a 15 ἡ δὲ σάλπη (τρέφεται) τῇ κόπρῳ καὶ φυκίοις· βόσκεται δὲ καὶ τὸ πράσιον, θηρεύεται δὲ καὶ κολοκύνθῃ [gourd, *Cucurbita maxima*] μόνη τῶν ἰχθύων; 534 a 15 ἔνια γὰρ δελεάζεται τοῖς δυσώδεσιν, ὥσπερ ἡ σάλπη τῇ κόπρῳ.

[c] A. 533 b 15 ἔτι δὲ ἐν ταῖς θήραις τῶν ἰχθύων ὅτι μάλιστα εὐλαβοῦνται ψόφον ποιεῖν ἢ κώπης ἢ δικτύων οἱ περὶ τὴν θήραν ταύτην ὄντες, ἀλλ᾿ ὅταν κατανοήσωσιν ἔν τινι τόπῳ πολλοὺς

Aphrodite; but since the doom of the gods rooted her and the tree that bears her name, she wails and mourns her woeful fate, wetted with tears for the sake of her bed: her holy sap the fisher mingles with the rest and moors his weel in the waves; and swiftly the lily fragrance runs over the sea and summons the herds of various kind; and the fishes moved by the sweet breath obey the call and speedily the weel is filled, bringing to the fisherman a recompense of goodly spoil.

The Saupes [a] always delight above all things in moist seaweed [b] and by that bait also they are taken. On previous days the fisherman sails to one place and always casts in the waves stones of a handy size, to which he has fastened fresh seaweed. But when the fifth morn sees his toil and the gathered Saupes feed about that place, then he arrays his crafty weel. Within it he casts stones wrapped in seaweed and about the mouth he binds such grasses of the sea as Saupes and other plant-eating fishes delight in. Then the fishes gather and eat the grasses and thereafter speed inside the weel. Straightway the fisher sails swiftly to the spot and pulls up the weel. His work is done silently, the men not speaking and the oars hushed. For silence [c] is profitable in all fishing but above all [d] in the case

ἀθρόους ὄντας, ἐκ τοσούτου τόπου τεκμαιρόμενοι καθιᾶσι τὰ δίκτυα, ὅπως μήτε κώπης μήτε τῆς ῥύμης τῆς ἁλιάδος ἀφίκηται πρὸς τὸν τόπον ἐκεῖνον ὁ ψόφος· παραγγέλλουσί τε πᾶσι τοῖς ναύταις ὅτι μάλιστα σιγῇ πλεῖν, μέχρι περ ἂν συγκυκλώσωνται.

[d] The acuteness of hearing of the Saupe is mentioned A. 534 a 8 *μάλιστα δ' εἰσὶ τῶν ἰχθύων ὀξυήκοοι κεστρεύς, χρέμψ, λάβραξ, σάλπη, χρόμις.* *Cf.* Ael. ix.7; Plin. x. 193 produntur etiam clarissime audire mugil, lupus, salpa, chromis, et ideo in vado vivere.

ἔξοχα δ' ἐν σάλπῃσιν· ἐπεὶ μάλα τῇσι νόημα
πτοιαλέον· πτοίῃ δὲ πόνον δύσθηρον ἔθηκε.
Τρίγλης δ' οὔτινα, φημί, χερειοτέρῃσιν ἐδωδαῖς
τέρπεσθαι· πᾶσαν γὰρ ἄσιν ἁλός, ἥν κε κίχῃσι,
φέρβεται· ἱμείρει δὲ δυσαέος ἔξοχα δαιτός·
σώμασι δ' ἐκπάγλως ἐπιτέρπεται ἀνδρομέοισι
πυθομένοις, εὖτ' ἄν τιν' ἕλῃ στονόεσσα θάλασσα.
τῷ καί μιν δελέασσιν ἀποπνείουσιν ἀϋτμὴν
ῥηϊδίως ἕλκουσιν, ὅσα πνέει ἐχθρὸν ἄημα.
εἴκελα δὲ τρίγλῃσιν ὕεσσί τε, φημί, τετύχθαι
ἤθεα, φυρομένοισιν ἀεὶ περὶ γαστέρος ὁρμήν·
ἄμφω δ' αἱ μὲν ἔασι διάκριτοι ἐν νεπόδεσσιν,
οἱ δ' ἐνὶ χερσαίῃσιν ἀριστεύουσ' ἀγέλῃσιν.
Οὐ μὲν δὴ μελάνουρον ἀποίσεαι οὔτ' ἐνὶ κύρτῳ
ῥηϊδίως ἀπαφῶν οὔτ' ἐν λινοεργέϊ κύκλῳ·
ἔξοχα γὰρ μελάνουρος ἐν ἰχθύσιν ἠμὲν ἄναλκις
ἠδὲ σαοφρονέων, λίχνῃ δέ οἱ οὔποτ' ἐδωδὴ
θυμήρης· αἰεὶ δὲ γαληναίης μὲν ἐούσης
κέκλιται ἐν ψαμάθοισι καὶ οὐκ ἀναδύεται ἅλμης·
ἀλλ' ὅτε κυμαίνουσα περισπέρχῃσι θάλασσα
λάβρων ἐξ ἀνέμων, τότε δὴ μοῦνοι μελάνουροι
κῦμα διαΐσσουσιν ἀολλέες, οὔτε τιν' ἀνδρῶν
οὔτε τιν' εἰναλίων πεφρικότες· οἱ μὲν ἅπαντες
ἐς νεάτην κρηπῖδα φόβῳ δύνουσι θαλάσσης,
οἱ δὲ τότ' ἠϊόνας τε πολυφλοίσβους ἐφέπουσι
πέτραις τ' ἐμπελάουσιν ἀλήμονες, εἴ τιν' ἐδητὺν
κοπτομένη δείξειεν ὑπὸ ῥιπῇσι θάλασσα·
νήπιοι, οὐδ' ἐδάησαν ὅσον πινυτώτεροι ἄνδρες,
οἳ κείνους καὶ πάμπαν ἀλευομένους ἕλον ἄγρῃ.

[a] C. ii. 392 n.
[b] 591 a 12 αἱ δὲ τρίγλαι καὶ φυκίοις τρέφονται καὶ ὀστρέοις καὶ βορβόρῳ καὶ σαρκοφαγοῦσιν.

of the Saupes; since their wits are easily scared and a scare renders vain the labour of the fisher.

No fish, I declare, delights in meaner bait than doth the Red Mullet [a]; for it feeds on all the silt [b] of the sea that it can find and it loves especially evil-smelling food. It delights exceedingly in the rotting bodies of men, when the dolorous sea makes any man its prey. Wherefore fishers easily take them with smelly baits which have a hateful breath. Red Mullets and Swine,[c] I declare, have like habits, wallowing always in filth for the desire of the belly: and the Red Mullets have the same distinction among the finny tribes as Swine have among the herds of the land.

The Melanurus [d] thou shalt not easily beguile and carry away either with weel or with the encircling net. For the Melanurus among all fishes is eminent at once for cowardice and for prudence, and gluttonous bait [e] is never pleasing to it. Always when the sea is calm it lies in the sands and rises not from the brine. But when under stress of violent winds the sea rages and billows, then do the Melanurus alone speed over the sea together, fearing not any man nor any creature of the sea. While all the rest for fear dive to the nether foundations of the sea, the Melanurus haunt the sounding shores or draw to the rocks as they roam in search of any food that the wind-beaten sea may show them. Foolish fishes! which know not how much more cunning are men, who take them captive despite all their endeavour

[c] A. 595 a 18 *εὐχερέστατον πρὸς πᾶσαν τροφὴν τῶν ζῴων ἐστίν* (*ἡ ὗς*).

[d] *C.* ii. 391 n. Oppian's account of the habits of the Melanurus is paraphrased by Ael. i. 41.

[e] A. 591 a 15 *μελάνουρος φυκίοις* (*τρέφεται*).

χειμερίῃ πλημμυρὶς ὅταν ζέῃ Ἀμφιτρίτης,
ἵστατ᾽ ἐπὶ προὔχουσαν ἀνὴρ ἁλιηγέα πέτρην,
ὀξύτατον τόθι κῦμα περὶ σπιλάδεσσι μέμυκεν·
εἴδατα δ᾽ ἀγνυμένοισιν ἐπισπείρει ῥοθίοισι,
τυρὸν ὁμοῦ Δήμητρι μεμιγμένον· οἱ δ᾽ ἐπὶ φορβὴν
ἀσπασίην θρώσκουσιν ἐπειγόμενοι μελάνουροι.
ἀλλ᾽ ὅτε οἱ παρέασιν ἀολλέες ἐς βόλον ἄγρης,
αὐτὸς μὲν τρέπεται λοξὸν δέμας, ὄφρα οἱ ὕδωρ
μήτι κατασκιάοιτο καὶ ἰχθύσι τάρβος ἐνείη·
ἔστι δέ οἱ λεπτός τε δόναξ μετὰ χερσὶν ἑτοῖμος
λεπτή θ᾽ ὁρμιὴ κούφης τριχός, ἄπλοκος αὔτως·
λεπτοῖς δ᾽ ἀγκίστροισιν ἀναπλέκεται θαμέεσσι·
τοῖς ἐπέθηκε δέλετρον, ὃ καὶ πάρος ἧκε καθ᾽ ὕδωρ,
πέμπει δ᾽ ἐς βαθὺ κῦμα κυκώμενον· οἱ δ᾽ ὁρόωντες
αὐτίκ᾽ ἐπιθρώσκουσι καὶ ἁρπάζουσιν ὄλεθρον.
οὐδ᾽ ἁλιεὺς εὔκηλον ἔχει χέρα, πυκνὰ δ᾽ ἀνέλκει
ἐκ δίνης ἄγκιστρα, καὶ εἰ κενὰ πολλάκις εἴη·
οὐ γὰρ βρασσομένης κεν ἐπιφράσσαιτο θαλάσσης
ἀτρεκέως, εἴτ᾽ οὖν τις ἐνίσχεται εἴτε μιν αὔτως
κύματ᾽ ἀνακλονέουσιν· ἐπὴν δέ τις ἀμφιχάνῃσι,
ῥίμφα μιν ἐξείρυσσε πάρος δόλον ἐν φρεσὶ θέσθαι,
πρὶν φόβον οὐτιδανοῖσιν ἐνιπλῆξαι μελανούροις.
τοίην χειμερίην πανεπίκλοπον ἤνυσεν ἄγρην.

---

[a] Hom. *Il.* xv. 406 ὡς ὅτε τις φὼς | πέτρῃ ἔπι προβλῆτι καθήμενος ἱερὸν ἰχθὺν | ἐκ πόντοιο θύραζε λίνῳ καὶ ἤνοπι χαλκῷ (*sc.* ἕλκει).

[b] The mode of capture here described seems to be identical with the modern method as described by Apost. p. 49: "Pendant l'été on pêche, dans les Sporades, les oblades [M.G. μελανούρια] et les daurades avec des bouchons de liège (φελλάρια). L'appareil est ainsi disposé : on pierce le liège et on fait passer une racine anglaise [sheep-gut] à l'un des bouts. On attache un hameçon, à l'autre bout un morceau de bois pour empêcher la racine de sortir. On retire la racine et quand le hameçon vient toucher le liège, on le couvre de pâte

to escape. When the sea boils with stormy flood, a man stands upon a jutting sea-beaten cliff,[a] where the wave bellows loudly on the rocks, and scatters dainties [b] in the breaking waves, even cheese mixed with flour [c]; and the Melanurus rush eagerly upon the welcome food. But when they are gathered together within range of his cast, he himself turns his body aside, that he may not cast his shadow on the water, and the fish be frightened. In his hands he holds ready a thin rod and a thin line of light hair all untwined, whereon are strung numerous light hooks. On these he puts the same bait as before he cast in the water, and lets it down into the deep turmoil of the waves. Seeing it the Melanurus immediately rush upon it and snatch—their own destruction. Nor does the fisher hold his hand at rest, but ever and again draws up his hooks from the eddying waters, even if they be often empty. For in the seething sea he cannot mark for certain whether a fish is hooked or whether it is but the waves that shake the line. But when a fish swallows the hook, swiftly he pulls him forth, ere he thinks of guile, ere he cause fright to the feeble Melanurus. In such wise he accomplishes his treacherous fishing in stormy weather.

de farine mêlée de fromage [*cf.* τῦρον ὁμοῦ Δήμητρι μεμιγμένον 463] et on laisse le liège, amorcé, libre dans la mer. Les poissons en venant manger l'appât avalent aussi l'hameçon. Lorsqu'ils se déplacent ils entraînent avec eux le liège, ce qu'avertit le pêcheur qui vient les ramasser. Cette pêche est excessivement amusante. Quand on emploie une grande quantité de lièges et que le poisson mord, c'est un perpétuel va-et-vient pour décrocher les poissons qui s'y sont pris et amorcer de nouveau les engins."

[c] Δήμητρι: for the metonymy for bread or flour *cf.* *C.* i. 434 n. and 484 below.

Ναὶ μὴν καὶ κεστρῆα, καὶ οὐ λίχνον περ ἐόντα,
ἤπαφον, ἀγκίστροισι περὶ στεινοῖσιν ἕσαντες
εἶδαρ ὁμοῦ Δήμητρι μεμιγμένον ἠδὲ γάλακτος
πηκτοῖσι δώροισιν· ἐφυρήσαντο δὲ ποίην
τοῖσιν ὁμοῦ μίνθην εὐώδεα, τήν ποτε κούρην
φασὶν ὑπουδαίην ἔμεναι, Κωκυτίδα Νύμφην·
κλίνατο δ' εἰς εὐνὴν 'Αϊδωνέος· ἀλλ' ὅτε κούρην
Περσεφόνην ἥρπαξεν ἀπ' Αἰτναίοιο πάγοιο,
δὴ τότε μιν κλάζουσαν ὑπερφιάλοις ἐπέεσσι,
ζήλῳ μαργαίνουσαν ἀτάσθαλα, μηνίσασα
Δημήτηρ ἀμάθυνεν ἐπεμβαίνουσα πεδίλοις·
φῆ γὰρ ἀγαυοτέρη τε φυὴν καὶ κάλλος ἀμείνων
Περσεφόνης ἔμεναι κυανώπιδος, ἐς δέ μιν αὐτὴν
εὔξατο νοστήσειν 'Αϊδωνέα, τὴν δὲ μελάθρων
ἐξελάσειν· τοίη οἱ ἐπὶ γλώσσης θόρεν ἄτη.
ποίη δ' οὐτιδανὴ καὶ ἐπώνυμος ἔκθορε γαίης,
τὴν ἐνιφυρήσαντες ἐπ' ἀγκίστροισι βάλοντο.
κεστρεὺς δ' οὐ μετὰ δηρόν, ἐπεί ῥά μιν ἷξεν ἀϋτμή,
ἀντιάσας πρῶτον μὲν ἀποσταδὸν ἀγκίστροιο
λοξὸν ὑπ' ὀφθαλμοῖς ὁράᾳ δόλον, εἴκελος ἀνδρὶ

---

[a] *Il.* ii. 642 n.

[b] *Il.* ii. 643 n. On the other hand A. 591 b 1 *λαίμαργος δὲ μάλιστα τῶν ἰχθύων ὁ κεστρεύς ἐστι καὶ ἄπληστος*, where, however, the word *κεστρεύς* is suspect.

[c] *i.e.*, cheese, as in v. 463. Speaking of fishing for, amongst others, Grey Mullets (*κεφαλόπουλα*), Apost. p. 43

Yea, and the Grey Mullet,[a] albeit he is no glutton,[b] they yet deceive by clothing narrow hooks with bait mixed with flour and gifts of curdled milk.[c] Therewith they knead also the sweet-smelling herb of mint. Mint, men say, was once a maid[d] beneath the earth, a Nymph of Cocytus, and she lay in the bed of Aidoneus; but when he raped the maid Persephone from the Aetnaean hill, then she complained loudly with overweening words and raved foolishly for jealousy, and Demeter in anger trampled upon her with her feet and destroyed her. For she had said that she was nobler of form and more excellent in beauty than dark-eyed Persephone and she boasted that Aidoneus would return to her and banish the other from his halls: such infatuation leapt upon her tongue. And from the earth sprang the weak herb that bears her name. Mint, then, the fishers mingle with the bait which they put upon their hooks. And in no long time the Grey Mullet, when the odour reaches him, first approaches the hook distantly and regards with eyes askance the snare; like to a stranger who, chancing upon

says: "On amorce aussi simplement avec de la pâte de pain mêlée avec du fromage pour lui donner un peu d'odeur." *Cf.* A. 591 a 18 *ὁ δὲ κέφαλος καὶ ὁ κεστρεὺς ὅλως μόνοι οὐ σαρκοφαγοῦσιν· σημεῖον δέ, οὔτε γὰρ ἐν τῇ κοιλίᾳ πώποτ' ἔχοντες εἰλημμένοι εἰσὶ τοιοῦτον οὐδέν, οὔτε δελέατι χρῶνται πρὸς αὐτοὺς ζῴων σαρξὶν ἀλλὰ μάζῃ.*

[d] Strabo 344 *πρὸς ἕω δ' ἐστιν ὄρος τοῦ Πύλου πλησίον ἐπώνυμον Μίνθης, ἣν μυθεύουσι παλλακὴν τοῦ Αἴδου γενομένην πατηθεῖσαν ὑπὸ τῆς Κόρης εἰς τὴν κηπαίαν μίνθην μεταβαλεῖν, ἣν τινες ἡδύοσμον* [*Mentha viridis*, spearmint, Theophrast. *H.P.* vii. 7. 1] *καλοῦσι*; schol. Nicandr. *Alex.* 375 *Μίνθη Αἴδου παλλακὴ οὕτω καλουμένη, ἣν διεσπάραξεν ἡ Περσεφόνη. ἐφ' ᾗ τὴν ὁμώνυμον πόαν ἀνέδωκεν ὁ Αἴδης*; Ov. *M.* x. 728 an tibi quondam | Femineos artus in olentes vertere menthas, | Persephone, licuit?

ξείνῳ, ὃς ἐν τριόδοισι πολυτρίπτοισι κυρήσας
ἔστη ἐφορμαίνων, κραδίη τέ οἱ ἄλλοτε λαιήν,
ἄλλοτε δεξιτερὴν ἐπιβάλλεται ἀτραπὸν ἐλθεῖν·
παπταίνει δ' ἑκάτερθε, νόος δέ οἱ ἠΰτε κῦμα
εἱλεῖται, μάλα δ' ὀψὲ μιῆς ὠρέξατο βουλῆς·
ὣς ἄρα καὶ κεστρῆϊ παναίολα μερμηρίζει
θυμὸς ὀϊομένῳ τε δόλον καὶ ἀπήμονα φορβήν·
ὀψὲ δέ μιν νόος ὦρσε καὶ ἤγαγεν ἐγγύθι πότμου·
αὐτίκα δὲ τρέσσας ἀνεχάσσατο· πολλάκι δ' ἤδη
εἷλε φόβος ψαύοντα καὶ ἔμπαλιν ἔτραπεν ὁρμήν.
ὡς δ' ὅτε νηπίαχος κούρη πάϊς, ἐκτὸς ἐούσης
μητέρος, ἢ βρώμης λελιημένη ἠέ τευ ἄλλου,
ψαῦσαι μὲν τρομέει μητρὸς χόλον, οὐδ' ἀναδῦναι
ἐλδομένη τέτληκεν· ἐφερπύζουσα δὲ λάθρῃ
αὖτις ὑποτρέπεται, κραδίῃ δέ οἱ ἄλλοτε θάρσος,
ἄλλοτε δ' ἐμπίπτει δεινὸς φόβος· ὄμματα δ' αἰὲν
ὀξέα παπταίνοντα ποτὶ προθύροισι τέτανται·
ὣς τότ' ἐπεμβαίνων ἀνελίσσεται ἤπιος ἰχθύς.
ἀλλ' ὅτε θαρσήσας πελάσῃ σχεδόν, οὐ μάλ' ἑτοίμως
ψαῦσε βορῆς, οὐρῇ δὲ πάρος μάστιξεν ἐγείρων
ἄγκιστρον, μή πού τις ἐνὶ χροῒ θέρμετ' ἀϋτμή·
ζωοῦ γὰρ κεστρεῦσιν ἀπώμοτόν ἐστι πάσασθαι.
ἔνθεν ἔπειτ' ἄκροισι διακνίζει στομάτεσσι
δαῖτα περιξύων· ἁλιεὺς δέ μιν αὐτίκα χαλκῷ
πεῖρεν ἀνακρούων, ὥστε θρασὺν ἵππον ἐέργων
ἡνίοχος σκληρῇσιν ἀναγκαίῃσι χαλινοῦ,
ἂν δ' ἔρυσε, σπαίροντα δ' ἐπὶ χθονὶ κάββαλεν ἐχθρῇ.

[a] Cic. *De div.* i. 54. 123 Idem etiam Socrates cum apud Delium male pugnatum esset, Laehete praetore, fugeretque cum ipso Lachete, ut ventum est in trivium, eadem qua ceteri fugere noluit. Quibus quaerentibus cur non eadem via pergeret, deterreri se a deo dixit. Tum quidem ii qui alia via fugerant, in hostium equitatum inciderunt ; Theogn.

much trodden cross-ways,[a] stands pondering, and at one moment his heart is set on going by the left road, at another by the right, and he looks on this side and on that and his mind fluctuates like the wave and only at long last he reaches a single purpose; even so also the spirit of the Grey Mullet ponders variously, now thinking of a snare and now of harmless food. At last his mind impels him and brings him nigh his doom. And immediately he starts back in fear and many times as he touches it, terror seizes him and checks his impulse. As when a little maiden girl, when her mother is abroad, is faint for some eatable or whatever it may be; and to touch it she is afraid for the anger of her mother, yet, unwilling to withdraw, she dares the deed: stealthily she creeps to it and again turns away; now courage, now fear enters her heart; and always her keen eyes are strained watchfully upon the door: even so then the gentle fish approaches and retires. But when he takes heart and draws nigh, not readily does he touch the bait but first lashes with his tail and stirs the hook to see whether haply there is any warm breath in its body; for to eat of aught living is for the Grey Mullet a thing forsworn. Then he nibbles and plucks at the bait with the tip of his mouth; and straightway the fisher strikes and pierces him with the bronze, even as a charioteer constrains a gallant horse by the stern compulsion of the bit, and pulls him up and casts him struggling on the loathed earth.

911 *ἐν τριόδῳ δ' ἕστηκα· δύ' εἰσὶ τὸ πρόσθεν ὁδοί μοι· | φροντίζω τούτων ἥντιν' ἴω προτέρην*; Pind. *P.* x. 38 *ἦ ῥ', ὦ φίλοι, κατ' ἀμευσίπορον τρίοδον ἐδινήθην, | ὀρθὰν ὁδὸν ἰὼν τὸ πρίν*; Plato, *Laws*, 799 C *στὰς δ' ἄν, καθάπερ ἐν τριόδῳ γενόμενος καὶ μὴ σφόδρα κατειδὼς ὁδόν, εἴτε μόνος εἴτε μετ' ἄλλων τύχοι πορευόμενος, ἀνέροιτ' ἂν αὑτὸν καὶ τοὺς ἄλλους τὸ ἀπορούμενον.*

Καὶ ξιφίην ὀλοοῖσι παρήπαφον ἀγκίστροισιν.
ἀλλ' οὐ μὲν ξιφίῃ τοῖος μόρος, οὐδ' ἴσος ἄλλοις·
οὐ γὰρ ἐπ' ἀγκίστροισι κατεντύνουσιν ἐδωδήν,
ἀλλὰ τὸ μὲν γυμνόν τε καὶ ἄκλοπον ἠώρηται,
μηρίνθου διπλῇσιν ἀκαχμένου ἔμπαλιν αἰχμαῖς·
τοῦ δ' ὅσσον τριπάλαιστον ἀναψάμενοι καθύπερθε
μαλθακὸν ἀργεννῶν νεπόδων ἕνα χείλεος ἄκρου
δῆσαν ἐπισταμένως· ξιφίης δ' ὅτε θοῦρος ἵκηται,
αὐτίκα δαιτρεύει δέμας ἰχθύος ἄορι λάβρῳ·
τοῦ δὲ δαϊζομένοιο καταρρέει ἅψεα δεσμοῦ,
αὐταῖς δ' ἀγκίστροιο περιστρέφεται γενύεσσιν·
αὐτὰρ ὅ γ' οὐκ ἐδάη γναμπτὸν δόλον, ἀλλὰ βαρεῖαν
δαῖτα χανὼν ἀγρευτὸς ἀνέλκεται ἀνέρος ἀλκῇ.
  Πολλὰ δ' ἐπὶ ξιφίῃ θηρήτορες ὁπλίζονται,
ἔξοχα δ' οἳ Τυρσηνὸν ἁλὸς πόρον ἀγρώσσουσιν
ἀμφί τε Μασσαλίην, ἱερὴν πόλιν, ἀμφί τε Κελτούς·
κεῖθι γὰρ ἔκπαγλοί τε καὶ ἰχθύσιν οὐδὲν ὁμοῖοι

---

[a] *Il.* ii. 462 n.

[b] The *Mare Tyrrhenum*, bounded on E. by Italy, S. by Sicily, W. by Sardinia and Corsica, N. by Gaul. Dion. P. 83 Τυρσηνίδος οἶδμα θαλάσσης; Strabo 55 Τυρρηνικοῦ πελάγους; Plin. iii. 75 ab eo (*sc.* mari Ligustico) ad Siciliam insulam Tuscum, quod ex Graecis alii Notium alii Tyrrenum, e nostris plurimi inferum vocant.

[c] Marseilles, 27 miles E. of the mouth of the Rhone, founded about 600 B.C. by colonists from Phocaea (*cf.* v. 626 below) in Asia Minor: Strabo 179; Plin. iii. 34. The epithet "holy" is taken by the schol. as a mere colourless epithet (ἱερήν· μεγάλην), but we rather imagine it to refer to the position of Massalia (Massilia) as the great outpost of Hellenic culture in the West. Under the Empire especially it was, as it were, a great University town: Strabo 181 πάντες γὰρ οἱ χαρίεντες πρὸς τὸ λέγειν τρέπονται καὶ φιλοσοφεῖν, ὥσθ' ἡ πόλις μικρὸν μὲν πρότερον τοῖς βαρβάροις ἀνεῖτο παιδευτήριον καὶ φιλέλληνας κατεσκεύαζε τοὺς Γαλάτας ὥστε καὶ τὰ συμβόλαια

The Swordfish [a] also men deceive by deadly hooks. But the doom of the Swordfish is not such as that of the Grey Mullet nor like that of other fishes. For the fishermen do not put bait upon their hooks, but the hook hangs from the line naked and without deceit, furnished with two recurved barbs, while some three palms above it they tie a soft white fish, fastening it skilfully by the tip of its mouth. When the furious Swordfish comes, straightway he rends the body of the fish with his fierce sword, and as the fish is rent, its members slip down from the fastening and are entangled right about the barbs of the hook. But the fish perceives not the crooked guile but swallows the grievous bait and is caught and hauled up by the might of the man.

Many are the devices which fishers contrive against the Swordfish, and those above all who fish the Tyrrhenian [b] tract of sea and about the holy city of Massalia [c] and in the region of the Celts.[d] For there, wondrous and not at all like fishes, range

ἑλληνιστὶ γράφειν, ἐν δὲ τῷ παρόντι [Strabo's date is *c.* 63 B.C.–23 A.D.] καὶ τοὺς γνωριμωτάτους Ῥωμαίων πέπεικεν ἀντὶ τῆς εἰς Ἀθήνας ἀποδημίας ἐκεῖσε φοιτᾶν φιλομαθεῖς; Tacitus, *Agr.* 4 statim parvulus sedem ac magistram studiorum Massiliam habuit, locum Graeca comitate et provinciali parsimonia mixtum et bene compositum; *id. Ann.* iv. 44 (L. Antonium) seposuit Augustus in civitatem Massiliensem, ubi specie studiorum nomen exilii tegeretur. This on the whole seems more likely than that the reference is to the foundation of Massalia under the direct guidance of Ἄρτεμις Ἐφεσία (Diana of the Ephesians) whose temple was a conspicuous feature of the city (Strabo 179). *Cf.* Ammian. Marc. xv. 9. 7.

[d] *i.e.*, the Gauls of Gallia Narbonensis, in which Massalia was situated. The reference is to the *Mare Gallicum*: Plin. iii. 74 τὸ Γαλατικὸν καλούμενον (πέλαγος); A. *De mundo* 393 a 27. *Cf.* Dion. P. 74 Γαλάτης ῥόος, ἔνθα τε γαῖα | Μασσαλίη τετάνυσται, ἐπίστροφον ὅρμον ἔχουσα.

ἄπλατοι ξιφίαι μεγακήτεες ἐννεμέθονται.
οἱ δ' ἀκάτους αὐτοῖσιν ἐϊσκομένας ξιφίῃσι
καὶ δέμας ἰχθυόεν καὶ φάσγανα τεκτήναντες
ἀντίον ἰθύνουσι· ὁ δ' οὐκ ἀναδύεται ἄγρην,
ἐλπόμενος μὴ νῆας ἐϋσέλμους ὁράασθαι,
ἀλλ' ἑτέρους ξιφίας, ξυνὸν γένος, ὄφρα μιν ἄνδρες
πάντῃ κυκλώσωνται· ὁ δ' ἐφράσαθ' ὕστερον ἄτην,
αἰχμῇ τριγλώχινι πεπαρμένος, οὐδέ οἱ ἀλκὴ
φεύγειν ἱεμένῳ περ, ἀναγκαίῃ δὲ δαμῆναι.
πολλάκι μὲν καὶ νηὸς ἀμυνόμενος κενεῶνα
φασγάνῳ ἀντετόρησε διαμπερὲς ἄλκιμος ἰχθύς,
οἱ δὲ θοῶς βουπλῆγος ὑπ' εὐχάλκοιο τυπῇσιν
ἐκ γενύων ἤραξαν ἅπαν ξίφος· ἐν δ' ἄρα νηὸς
ἕλκεϊ γόμφος ἄρηρεν· ὁ δ' ἕλκεται ὀρφανὸς ἀλκῆς.
ὡς δ' ὅτε δυσμενέεσσι δόλον τεύχοντες ἄρηος,
ἱέμενοι πύργων τε καὶ ἄστεος ἔνδον ἱκέσθαι,
ἔντεα συλήσαντες ἀρηϊφάτων ἀπὸ νεκρῶν
αὐτοὶ θωρήξαντο καὶ ἔδραμον ἄγχι πυλάων·
οἱ δ' ὥστε σφετέροισιν ἐπειγομένοις πολιήταις
ἀγκλίνουσι θύρετρα καὶ οὐ γήθησαν ἑταίροις·
ὣς ἄρα καὶ ξιφίην ἴκελον δέμας ἤπαφε νηῶν.
Καὶ μὲν δὴ σκολιῇσιν ἐν ἀγκοίνῃσι λίνοιο
κυκλωθεὶς ξιφίης μέγα νήπιος ἀφροσύνῃσιν
ὄλλυται, ὃς θρώσκει μὲν ὑπεκδῦναι μενεαίνων,
ἐγγύθι δὲ τρομέων πλεκτὸν δόλον αὖτις ὀπίσσω
χάζεται· οὐδέ οἱ ὅπλον ἐνὶ φρεσίν, οἷον ἄρηρεν
ἐκ γενύων, δειλὸς δὲ μένει κεκαφηότι θυμῷ,
ὄφρα μιν ἐξερύσωσιν ἐπ' ἠόνας· ἔνθα δὲ δούροις
ἄνδρες ἐπασσυτέροισι καταΐγδην ἐλόωντες
κρᾶτα συνηλοίησαν, ὁ δ' ὄλλυται ἄφρονι πότμῳ.
Ἀφροσύνη καὶ σκόμβρον ἕλεν καὶ πίονα θύννον

[a] *Il.* i. 101 n.

monster Swordfishes unapproachable. The fishermen fashion boats in the likeness of the Swordfishes themselves, with fishlike body and swords, and steer to meet the fish. The Swordfish shrinks not from the chase, believing that what he sees are not benched ships but other Swordfishes, the same race as himself, until the men encircle him on every side. Afterwards he perceives his folly when pierced by the three-pronged spear ; and he has no strength to escape for all his desire but perforce is overcome. Many a time as he fights the valiant fish with his sword pierces in his turn right through the belly of the ship ; and the fishers with blows of brazen axe swiftly strike all his sword from his jaws, and it remains fast in the ship's wound like a rivet, while the fish, orphaned of his strength, is hauled in. As when men devising a trick of war against their foes, being eager to come within their towers and city, strip the armour from the bodies of the slain and arm themselves therewith and rush nigh the gates ; and the others fling open their gates as for their own townsmen in their haste, and have no joy of their friends ; even so do boats in his own likeness deceive the Swordfish.

Moreover, when encircled in the crooked arms of the net the greatly stupid Swordfish perishes by his own folly. He leaps in his desire to escape but near at hand he is afraid of the plaited snare and shrinks back again and forgetteth what manner of weapon is set in his jaws and like a coward remains aghast till they hale him forth upon the beach, where with downward-sweeping blow of many spears men crush his head, and he perishes by a foolish doom.

Folly slays also the Mackerel [a] and the fat Tunny

καὶ ῥαφίδας καὶ φῦλα πολυσπερέων συνοδόντων.
σκόμβροι μὲν λεύσσοντες ἐν ἕρκεϊ πεπτηῶτας
ἄλλους ἠράσσαντο λίνου πολύωπον ὄλεθρον
ἐσδῦναι· τοίη τις ἐσέρχεται εἰσορόωντας
τερπωλή· παίδεσσιν ἀπειρήτοισιν ὁμοῖοι,
οἵ τε πυρὸς λεύσσοντες ἀναιθομένοιο φαεινὴν
μαρμαρυγὴν ἀκτῖσιν ἰαινόμενοι γελόωσι
ψαῦσαί θ' ἱμείρουσι καὶ ἐς φλόγα χεῖρ' ὀρέγουσι
νηπιέην· τάχα δέ σφιν ἀνάρσιον ἐξεφάνη πῦρ·
ὣς οἵ γ' ἱμείρουσιν ἀνοστήτοιο λόχοιο
ἐσπεσέειν κευθμῶνα, κακοῦ δ' ἤντησαν ἔρωτος.
ἔνθ' οἱ μὲν κέλσαντες ἐν εὐρυτέροισι βρόχοισι
ἔκθορον, οἱ δ' ἐρχθέντες ἐνὶ στεινοῖσι πόροισι
πικρὸν ἀνέτλησαν σφιγκτὸν μόρον ἐξανύσαντες.
πολλοὺς δ' ἠϊόνεσσιν ἐφελκομένοιο λίνοιο
ὄψεαι ἀμφοτέρωθεν ἀρηρότας ἠΰτε γόμφοις,
τοὺς μὲν ἔτι φρονέοντας ἐσελθέμεν ἄρκυν ὀλέθρου,
τοὺς δ' ἤδη μεμαῶτας ὑπεκδῦναι κακότητος,
ἔνδοθεν ἰκμαλέῃσιν ἐνισχομένους βροχίδεσσι.
Θύννοι δ' αὖ σκόμβροις μὲν ἴσον πόνον ἀθλεύουσιν
ἀφροσύνῃ· καὶ τοῖς γὰρ ὁμοίιος ἵμερος ἄτης
ἐμπίπτει δολίοιο λίνου λαγόνεσσι μιγῆναι·
ἀλλ' οὐ μὲν κείνοισιν ὑπόβρυχα γαστέρος εἴσω
ἐσδύνειν, σκολιοῖσι δ' ἐπαΐσσουσιν ὀδοῦσι,
σώματι μηδόμενοι πόρον ἄρκιον· ἐν δ' ἄρ' ὀδοῦσιν
ὑγρὸν ἐρειδομένοις τέταται λίνον· οὐδέ τι μῆχος
ἐκφυγέειν, δεσμῷ δὲ περιστομίῳ μογέοντες
ἕλκονται ποτὶ χέρσον ὑπ' ἀφραδίῃσιν ἁλόντες.
Καὶ *μὲν δὴ ῥαφίδων τοῖος νόος· αἱ δ' ὅτε κόλπον*
δικτύου ἐκπροφύγωσι, πόνου δ' ἔκτοσθε γένωνται,

and the Needle-fishes and the tribes of the wide-spread Dentex. The Mackerels, when they see others crouching in the net, are fain to enter the many-meshed snare of destruction—such delight possesses them when they behold: like untried children who, when they see the bright flashing of blazing fire, rejoice in its rays and are fain to touch it and stretch a childish hand into the flame, and speedily the fire proves unkind; even so the Mackerels are fain to rush within the covert of the ambush whence there is no return and find their fondness fatal. Then some land in the wider meshes and leap out, but others, penned in the narrower openings, suffer a bitter fate by strangling. When the net is hauled ashore, thou shalt see them in multitudes on either side fixed as with nails, some still minded to enter the net of destruction, others already eager to escape from their evil plight, held fast within the dripping nets.

The Tunnies again suffer like affliction with the Mackerel by their foolishness. For they also are possessed by a similar fatal desire to come within the loins of the crafty net; they do not however essay to enter the belly of the net under water but assail it with their crooked teeth, devising to make a passage sufficient for their body. The wet net becomes stretched about their infixed teeth and they have no means of escape, but labouring under the entanglement about their mouth they are haled to the land, taken by their own witlessness.

Such also is the counsel of the Needle-fishes.[a] These when they have escaped the bosom of the net

[a] The Gar-fish, *Belone acus*, M.G. *βελονίδα, ζαργάνα*. *Cf.* *C.* ii. 392 n.

αὖτις ἐπιστρωφῶσι, λίνῳ δ' ἐπιμηνίουσαι
δήγματ' ἐνιπρίουσι· τὸ δέ σφισι δύεται εἴσω
ἴσχει τ' ἐμμενέως πυκινοὺς ἔντοσθεν ὀδόντας.
Αὐτὰρ τοὶ συνόδοντες ἴσοι στείχουσι λόχοισι
κεκριμένοι· τοῖς δ' εὖτ' ἂν ἀνὴρ ἄγκιστρον ἐφείη,
οἱ μὲν ἀποτροπάδην λοξὸν φάος ἀλλήλοισι
πάντες ἐπικλίνουσι καὶ οὐκ ἐθέλουσι πελάσσαι·
ἀλλ' ὅτε τις προθορὼν ἑτέρης στιχὸς αἶψα δέλετρον
ἁρπάξῃ, τότε καί τις ἐνὶ φρεσὶ θάρσος ἔδεκτο
ἀγκίστρῳ τ' ἐπέλασσε καὶ ἕλκεται· οἱ δ' ὁρόωντες
ἀλλήλους, περὶ δαιτὶ γεγηθότες, ἰαίνονται
ἑλκόμενοι, σπεύδουσι δ' ὑποφθαδόν, ὅς κε θάνῃσι
πρῶτος ἁλούς, ἅτε παῖδες ἀθύρμασι καγχαλόωντες.
Θύννων δ' αὖ γενεὴ μὲν ἀπ' εὐρυπόροιο τέτυκται
Ὠκεανοῦ· στείχουσι δ' ἐς ἡμετέρης ἁλὸς ἔργα
εἰαρινοῦ μετὰ λύσσαν ὅτ' οἰστρήσωσι γάμοιο.
τοὺς δ' ἤτοι πρῶτον μὲν Ἰβηρίδος ἔνδοθεν ἅλμης

---

[a] A curious parallel to this is mentioned in his account of the present-day fishing for the Belone by Apost. p. 41: "quelques-uns effrayés, au début, fuient au large, mais ils reviennent aussitôt rejoindre la grande bande qui n'a pas bougé."

[b] *Dentex vulgaris* Cuv., one of the Sea-breams (*Sparidae*), M.G. *συναγρίδα* (Apost. p. 18). *Cf.* A. 591 a 11, b 5, 10; 598 a 13; 610 b 5; Epicharm. *ap.* Athen. 322 b *συνόδοντάς τ' ἐρυθροποικίλους*; Marc. S. 29 *κρεῖοι (κιρροί?) συνόδοντες*; Ov. *Hal.* 107 fulvi synodontes.

[c] A. 543 a 9 *ἡ θυννὶς ἅπαξ τίκτει, ἀλλὰ διὰ τὸ τὰ μὲν πρώια τὰ δὲ ὄψια προίεσθαι δὶς δοκεῖ τίκτειν· ἔστι δ' ὁ μὲν πρῶτος τόκος περὶ τὸν Ποσειδεῶνα* [November-December] *πρὸ τροπῶν* [before the Winter Solstice, 22 December], *ὁ δ' ὕστερος τοῦ ἔαρος*; 543 b 2 *αἱ δὲ πηλαμύδες καὶ οἱ θύννοι τίκτουσιν ἐν τῷ Πόντῳ* [Black Sea], *ἄλλοθι δ' οὔ.* *Cf.* Plin. ix. 47 (Thynni) intrant e magno mari Pontum verno tempore gregatim, nec alibi fetificant; A. 543 b 11 (*τίκτει*) *θέρους περὶ τὸν Ἑκατομβαιῶνα* [June-July] *θυννίς, περὶ τροπὰς θερινάς* [Summer Solstice, 21 June]; A.

and are gotten free from trouble, turn again [a] and in their anger fix their teeth in the net; and it enters into their mouths and holds fast the close-set teeth within.

The Dentex [b] travel in separate bands, like companies of soldiers. When a man lets down a hook for them, they stand aloof and all bend sidelong looks on one another and are unwilling to approach. But when one leaps forth from another rank and swiftly seizes the bait, then also one of them takes courage in his heart and draws nigh to the hook and is haled in. The Dentex, eyeing one another and delighting in their banquet, rejoice even while they are being caught, and they vie with one another as to which shall die first, like children exulting in their sports.

The breed of Tunnies [c] comes from the spacious Ocean, and they travel into the regions of our sea [d] when they lust after the frenzy of mating in spring. First the Iberians who plume themselves upon their

571 a 11 *ὀχεύονται δ' οἱ θύννοι . . . περὶ τὸν Ἐλαφηβολιῶνα φθίνοντα* [about middle of March], *τίκτουσι δὲ περὶ τὸν Ἑκατομβαιῶνα ἀρχόμενον* [about middle of June]; 598 a 26 *θυννίδες καὶ πηλαμύδες καὶ ἄμιαι εἰς τὸν Πόντον ἐμβάλλουσι τοῦ ἔαρος καὶ θερίζουσιν.*

[d] *i.e.*, they come from the Atlantic into the Mediterranean on the way to their spawning-grounds in the Euxine. *Cf.* Theodorid. *ap.* Athen. 302 c *θύννοι τε διοιστρήσοντι Γαδείρων δρόμον*, *i.e.* the Straits of Gibraltar, *τὸν Γαδειραῖον πορθμόν* Plut. *Sert.* viii.; *cf.* Plin. iii. 74 in eo maria nuncupantur, unde inrumpit, Atlanticum, ab aliis magnum, qua intrat. Porthmos a Graecis, a nobis Gaditanum fretum. For Gadeira = Gades *cf.* Plin. iv. 120 Poeni Gadir (appellant); Strabo 169 ff; Pind. *N.* iv. 69; *fr.* 256; Dion. P. 63 *ἀφ' ἑσπέρου Ὠκεανοῖο | ἔνθα τε καὶ στῆλαι* [Pillars of Hercules] *περὶ τέρμασιν Ἡρακλῆος | ἑστᾶσιν, μέγα θαῦμα, παρ' ἐσχατόωντα Γάδειρα*; *ibid.* 11; 451 ff.

ἀνέρες ἀγρώσσουσι βίῃ κομόωντες Ἴβηρες·
δεύτερα δὲ Ῥοδανοῖο παρὰ στόμα θηρητῆρες
Κελτοὶ Φωκαίης τε παλαίφατοι ἐνναετῆρες·
τὸ τρίτον ἀγρώσσουσιν ὅσοι Τρινακρίδι νήσῳ
ἐνναέται πόντου τε παρ' οἴδμασι Τυρσηνοῖο.
ἔνθεν ἀπειρεσίοις ἐνὶ βένθεσιν ἄλλοθεν ἄλλος
κίδνανται καὶ πᾶσαν ἐπιπλώουσι θάλασσαν.
πολλὴ δ' ἔκπαγλός τε παρίσταται ἰχθυβόλοισιν
ἄγρη, ὅτ' εἰαρινὸς θύννων στρατὸς ὁρμήσωνται.
χῶρον μὲν πάμπρωτον ἐπεφράσσαντο θαλάσσης
οὔτε λίην στεινωπὸν ἐπηρεφέεσσιν ὑπ' ὄχθαις
οὔτε λίην ἀνέμοισιν ἐπίδρομον, ἀλλὰ καὶ αἴθρῃ
καὶ σκεπανοῖς κευθμῶσιν ἐναίσιμα μέτρα φέροντα.
ἔνθ' ἤτοι πρῶτον μὲν ἐπ' ὄρθιον ὕψι κολωνὸν
ἴδρις ἐπαμβαίνει θυννοσκόπος, ὅστε κιούσας
παντοίας ἀγέλας τεκμαίρεται, αἵ τε καὶ ὅσσαι,

---

[a] *i.e.*, the sea off the south of Spain (Iberia). Strabo 122 *καλοῦσι δὲ . . . τὸ μὲν (πέλαγος) Ἰβηρικόν, τὸ δὲ Λιγυστικόν, τὸ δὲ Σαρδόνιον, τελευταῖον δὲ μέχρι τῆς Σικελίας τὸ Τυρρηνικόν*; Plin. iii. 74 cum intravit, Hispanum (mare nuncupatur) quatenus Hispanias adluit, ab aliis Ibericum aut Baliaricum.

[b] The people of Massilia, *cf.* note on 544 above. *Cf.* Ael. xiii. 16 *ἀκούω δὲ Κελτοὺς καὶ Μασσαλιώτας . . . ἀγκίστροις τοὺς θύννους θηρᾶν.*

[c] Sicily. For Tunnies in Sicilian seas *cf.* Archestr. *ap.* Athen. 302 a *ἐν Σικελῶν δὲ κλυτῇ νήσῳ Κεφαλοιδὶς* [on N. coast of Sicily, Strabo 266 *Κεφαλοίδιον*, Plin. iii. 90 Cephaloedis] *ἀμείνους | πολλῷ τῶνδε τρέφει θύννους καὶ Τυνδαρὶς ἀκτή* [also on N. coast, Strabo *l.c.*, Plin. *l.c.*]. *Cf.* Hices. *ap.* Athen. 315 d; Ael. xv. 6.

[d] Dorio *ap.* Athen. 315 b *Δωρίων . . . τοὺς ὀρκύνους* (large Tunnies) *ἐκ τῆς περὶ Ἡρακλέους στήλας θαλάσσης περαιουμένους εἰς τὴν καθ' ἡμᾶς ἔρχεσθαι θάλασσαν· διὸ καὶ πλείστους ἁλίσκεσθαι ἐν τῷ Ἰβηρικῷ καὶ Τυρρηνικῷ πελάγει· κἀντεῦθεν κατὰ τὴν ἄλλην θάλασσαν διασκίδνασθαι.*

might capture them within the Iberian brine [a]; next by the mouth of the Rhone the Celts and the ancient inhabitants of Phocaea [b] hunt them; and thirdly those who are dwellers in the Trinacrian isle [c] and by the waves of the Tyrrhenian sea. Thence in the unmeasured deeps they scatter [d] this way or that and travel over all the sea. Abundant and wondrous is the spoil for fishermen when the host of Tunnies set forth in spring. First of all the fishers mark a place in the sea which is neither too straitened under beetling banks nor too open to the winds, but has due measure of open sky and shady coverts. There first a skilful Tunny-watcher [e] ascends a steep high hill,[f] who remarks the various shoals, their kind and size,[g] and informs [h] his comrades.

[e] Analogous to the "Hooer" in the Cornish Pilchard fishing: A. 537 a 19 *πολλάκις δὲ καὶ οἱ θυννοσκόποι περιβάλλονται καθεύδοντας*; Theocr. iii. 25 f. *ἐς κύματα τηνῶ ἀλεῦμαι | ὧπερ τὼς θύννως σκοπιάζεται Ὄλπις ὁ γριπεύς.* Hence metaphorically Aristoph. *Eq.* 312 f. *ὅστις* [*i.e.* Cleon] *ἡμῶν τὰς Ἀθήνας ἐκκεκώφωκας βοῶν, | κἀπὸ τῶν πετρῶν ἄνωθεν τοὺς φόρους θυννοσκοπῶν.* *Cf.* Suid. *s.v.* Alciphr. i. 20 *ὁ σκοπιωρός* in same sense.

[f] The outlook, *θυννοσκοπεῖον*, Strabo 223; 225; 834, etc., was sometimes a high mast (Varr. *ap.* Non. i. p. 49; *cf.* Philostr. *Imag.* i. 13 *σκοπιωρεῖται γάρ τις ἀφ' ὑψηλοῦ ξύλου*), sometimes a more elaborate platform (Ael. xv. 5).

[g] According to Plut. *Mor.* 980 A he was helped in his computation by the cubical formation of the shoal: *ὁ γοῦν θυννοσκόπος, ἂν ἀκριβῶς λάβῃ τὸν ἀριθμὸν τῆς ἐπιφανείας, εὐθὺς ἀποφαίνεται πόσον καὶ ἅπαν τὸ πλῆθός ἐστιν, εἰδὼς ὅτι καὶ τὸ βάθος αὐτῶν ἐν ἴσῳ τεταγμένον στοιχείῳ πρός τε τὸ πλάτος ἐστὶ καὶ τὸ μῆκος.*

[h] Philostr. *Imag. l.c.* *κἂν ἐμβάλλοντας τοὺς ἰχθῦς ἴδῃ, βοῆς τε ὡς μεγίστης* [hence the point of *βοῶν* in Aristoph. *Eq.* 312 quoted on 638 above] *δεῖ αὐτῷ πρὸς τοὺς ἐν τοῖς ἀκατίοις καὶ τὸν ἀριθμὸν λέγει καὶ τὰς μυριάδας αὐτῶν*; Ael. xv. 5 *ὁ σκοπὸς ἰδὼν . . . λέγει μὲν τοῖς θηραταῖς ὁπόθεν ἀφικνοῦνται· . . . ἐρεῖ γε μὴν πολλάκις καὶ τὸν πάντα ἀριθμόν.*

πιφαύσκει δ᾽ ἑτάροισι· τὰ δ᾽ αὐτίκα δίκτυα πάντα
ὥστε πόλις προβέβηκεν ἐν οἴδμασιν· ἐν δὲ πυλωροὶ
δικτύῳ, ἐν δὲ πύλαι, μύχατοί τ᾽ αὐλῶνες ἔασιν.
οἱ δὲ θοῶς σεύονται ἐπὶ στίχας, ὥστε φάλαγγες
ἀνδρῶν ἐρχομένων καταφυλαδόν· οἱ μὲν ἔασιν
ὁπλότεροι, τοὶ δ᾽ εἰσὶ γεραίτεροι, οἱ δ᾽ ἐνὶ μέσσῃ
ὥρῃ· ἀπειρέσιοι δὲ λίνων ἔντοσθε ῥέουσιν,
εἰσόκεν ἱμείρωσι καὶ ἀγρομένους ἀνέλῃται
δίκτυον· ἀφνειὴ δὲ καὶ ἔξοχος ἵσταται ἄγρη.

---

[a] The comparison is easily understood when one reads the account in Ael. xv. 5 *ὁ τὴν σκοπιὰν φυλάττων μάλα ὀξὺ ἐκβοήσας λέγει διώκειν ἐκεῖθι καὶ τοῦ πελάγους ἐρέττειν εὐθύ. οἱ δὲ ἐξαρτήσαντες ἐλάτης τῶν τὸν σκοπὸν ἀνεχουσῶν τῆς ἑτέρας* [*i.e.* one of the two *πρέμνα ἐλάτης ὑψηλά* which support the platform of the *θυννοσκοπεῖον*] *σχοῖνον εὖ μάλα μακρὰν τῶν δικτύων ἐχομένην, εἶτα ἐπαλλήλοις ταῖς ναυσὶν ἐρέττουσι κατὰ στοῖχον ἔχονταί τε ἀλλήλων, ἐπεί τοι καὶ τὸ δίκτυον ἐφ᾽ ἑκάστῃ διῄρηται, καὶ ἥ γε πρώτη τὴν ἑαυτῆς ἐκβαλοῦσα μοῖραν τοῦ δικτύου ἀναχωρεῖ, εἶτα ἡ δευτέρα δρᾷ τοῦτο, καὶ ἡ τρίτη, καὶ δεῖ καθεῖναι τὴν τετάρτην, οἱ δὲ τὴν πέμπτην ἐρέττοντες ἔτι μέλλουσι, τοὺς δὲ ἐπὶ ταύτῃ οὐ χρὴ καθεῖναί πω· εἶτα ἐρέττουσιν ἄλλοι ἄλλῃ καὶ ἄγουσι τοῦ δικτύου τὴν μοῖραν, εἶτα ἡσυχάζουσι.* *Cf.* Apost. p. 31 "Au mois de mai plus de 20 bateaux de Spetzia, quelques-uns de Skiathos se livrent . . . à la pêche des thons. Quand l'arrivée des thons dans les parages de ces îles est annoncée, les pêcheurs font leurs préparatifs de

Then straightway all the nets are set forth in the waves like a city,[a] and the net has its gate-warders and gates withal and inner courts. And swiftly the Tunnies speed on in line,[b] like ranks of men marching tribe by tribe—these younger, those older, those in the mid season of their age. Without end they pour within the nets, so long as they desire and as the net can receive the throng of them ; and rich and excellent is the spoil.[c]

campagne. Tous les bateaux . . . se placent à l'entrée du golfe d'Argolide, que les poissons traversent toujours pour pénétrer dans l'intérieur de ce golfe ; les pêcheurs approchent de la côte, y jettent l'une des extrémités du filet, et, en avançant vers le large, ils y jettent le reste. Cela fait, ils enfoncent dans l'eau une poutre et y laissent un gardien [the *θυννοσκόπος*]. Le bateau revient à terre en décrivant une courbe et traînant après lui une corde, avec laquelle, en tirant l'extrémité placée du côté de la mer, ils font décrire au filet une ligne circulaire. Aussitôt que le gardien annonce, par des signaux, à ses camarades qu'un nombre assez considérable de thons se trouve à leur portée, ceux-ci tirent de la terre le filet où ils englobent les poissons."

[b] Philostr. *Imag. l.c.* *νέουσι δὲ οἷον στρατιωτῶν φάλαγξ ἐπὶ ὀκτὼ καὶ ἐφ' ἑκκαίδεκα καὶ δὶς τόσοι, . . . ἄλλος ἄλλῳ ἐπινέοντες, τοσοῦτον βάθος ὅσον αὐτῶν τὸ εὖρος.*

[c] Philostr. *Imag. l.c.* *οἱ δὲ ἀποφράξαντες αὐτοὺς βαθεῖ καὶ κλειστῷ δικτύῳ δέχονται λαμπρὰν ἄγραν.*

ΑΛΙΕΥΤΙΚΩΝ ΤΟ Δ

Ἄλλους δ' ἀγρευτῆρσιν ὑπήγαγε ληΐδα θήρης
ὑγρὸς ἔρως· ὀλοῶν δὲ γάμων, ὀλοῆς τ' Ἀφροδίτης
ἠντίασαν, σπεύδοντες ἑὴν φιλοτήσιον ἄτην.
ἀλλὰ σύ μοι, κάρτιστε πολισσούχων βασιλήων,
αὐτός τ', Ἀντωνῖνε, καὶ υἱέος ἠγάθεον κῆρ,
πρόφρονες εἰσαΐοιτε καὶ εἰναλίῃσι γάνυσθε
τερπωλαῖς, οἵῃσιν ἐμὸν νόον ἠπιόδωροι
Μοῦσαι κοσμήσαντο καὶ ἐξέστεψαν ἀοιδῆς
δώρῳ θεσπεσίῳ καί μοι πόρον ὑμετέροισι
κίρνασθαι γλυκὺ νᾶμα καὶ οὔασι καὶ πραπίδεσσι.
Σχέτλι' Ἔρως, δολομῆτα, θεῶν κάλλιστε μὲν ὅσσοις
εἰσιδέειν, ἄλγιστε δ' ὅτε κραδίην ὀροθύνεις,
ἐμπίπτων ἀδόκητος, ὑπὸ φρένα δ' ὥστε θύελλα
μίσγεαι, ἀσθμαίνεις δὲ πυρὸς δριμεῖαν ὁμοκλήν,
παφλάζων ὀδύνῃσι καὶ ἀκρήτοισιν ἀνίαις·
δάκρυ δέ σοι προβαλεῖν λαρὸν γάνος ἠδ' ἐσακοῦσαι
βυσσόθεν οἰμωγὴν σπλάχνοις θ' ὑπὸ θερμὸν ἔρευθος
φοινίξαι χρωτός τε παράτροπον ἄνθος ἀμέρσαι
ὄσσε τε κοιλῆναι παρά τε φρένα πᾶσαν ἀεῖραι
μαινομένην· πολλοὺς δὲ καὶ ἐς μόρον ἐξεκύλισας,
ὅσσοις χειμέριός τε καὶ ἄγριος ἀντεβόλησας
λύσσαν ἄγων· τοίαις γὰρ ἀγάλλεαι εἰλαπίνῃσιν.

---

[a] Introd. p. xx.

[b] So, in the famous address to Eros, Soph. *Antig.* 790 ὁ δ' ἔχων μέμηνεν.

HALIEUTICA, OR FISHING

IV

Other fishes doth tender love make for fishermen the spoil of their chase, and fatal mating they find and fatal their passion, hastening their own ruin through desire. But do thou, I pray thee, mightiest of kings who have cities in their keeping, both thyself, O Antoninus [a] and thy son of noble heart, graciously give ear and take pleasure in these delights of the sea wherewith the kindly Muses have furnished forth my mind and have crowned me with the gift divine of song and given me to mix a sweet draught for your ears and for your mind.

O cruel Love, crafty of counsel, of all gods fairest to behold with the eyes, of all most grievous when thou dost vex the heart with unforeseen assault, entering the soul like a storm-wind and breathing the bitter menace of fire, with hurricane of anguish and untempered pain. The shedding of tears is for thee a sweet delight and to hear the deep-wrung groan; to inflame a burning redness in the heart and to blight and wither the bloom upon the cheek, to make the eyes hollow and to wrest all the mind to madness.[b] Many thou dost even roll to doom, even those whom thou meetest in wild and wintry sort, fraught with frenzy; for in such festivals is thy

εἴτ᾽ οὖν ἐν μακάρεσσι παλαίτατος ἐσσὶ γενέθλῃ,
ἐκ Χάεος δ᾽ ἀνέτειλας ἀμειδέος, ὀξέϊ πυρσῷ
λαμπόμενος, πρῶτος δὲ γάμων ἐζεύξαο θεσμούς,
πρῶτος δ᾽ εὐναίοις ἀρότοις ἐπεθήκαο τέκμωρ·
εἴτε σε καὶ πτερύγεσσιν ἀειρόμενον θεὸν ὄρνιν
τίκτε Πάφου μεδέουσα πολυφράδμων Ἀφροδίτη,
εὐμενέοις, πρηῢς τε καὶ εὔδιος ἄμμιν ἱκάνοις
μέτρον ἄγων· οὐ γάρ τις ἀναίνεται ἔργον ἔρωτος.
πάντῃ μὲν κρατέεις, πάντῃ δέ σε καὶ ποθέουσι
καὶ μέγα πεφρίκασιν· ὁ δ᾽ ὄλβιος, ὅστις ἔρωτα
εὐκραῆ κομέει τε καὶ ἐν στέρνοισι φυλάσσει·
σοὶ δ᾽ οὔτ᾽ οὐρανίης γενεῆς ἅλις οὔτε τι φύτλης
ἀνδρομέης· οὐ θῆρας ἀναίνεαι οὐδ᾽ ὅσα βόσκει
ἀὴρ ἀτρύγετος, νεάτης δ᾽ ὑπὸ κεύθεσι λίμνης
δύνεις, ὁπλίζῃ δὲ καὶ ἐν νεπόδεσσι κελαινοὺς
ἀτράκτους, ὡς μή τι τεῆς ἀδίδακτον ἀνάγκης
λείπηται, μηδ᾽ ὅστις ὑπόβρυχα νήχεται ἰχθύς.
Οἵην μὲν φιλότητα μετ᾽ ἀλλήλοισι ῥύονται
καὶ πόθον ὀξυβελῆ στικτοὶ σκάροι, οὐδ᾽ ἐνὶ μόχθοις
ἀλλήλους λείπουσιν, ἀλεξητῆρι δὲ θυμῷ
πολλάκι μὲν πληγέντος ὑπ᾽ ἀγκίστροιο δαφοινοῦ

---

[a] Hesiod, *Th.* 116 ff. *ἤτοι μὲν πρώτιστα Χάος γένετ᾽, αὐτὰρ ἔπειτα | Γαῖ᾽ εὐρύστερνος, πάντων ἕδος ἀσφαλὲς αἰεὶ | ἀθανάτων, οἳ ἔχουσι κάρη νιφόεντος Ὀλύμπου, Τάρταρά τ᾽ ἠερόεντα μυχῷ χθονὸς εὐρυοδείης, | ἠδ᾽ Ἔρος, ὃς κάλλιστος ἐν ἀθανάτοισι θεοῖσι, | λυσιμελής, πάντων δὲ θεῶν πάντων τ᾽ ἀνθρώπων | δάμναται ἐν στήθεσσι νόον καὶ ἐπίφρονα βουλήν*; Aristoph. *Av.* 693 ff. *Χάος ἦν καὶ Νύξ, Ἔρεβός τε μέλαν πρῶτον καὶ Τάρταρος εὐρύς· | γῆ δ᾽ οὐδ᾽ ἀὴρ οὐδ᾽ οὐρανὸς ἦν· Ἐρέβους δ᾽ ἐν ἀπείροσι κόλποις | τίκτει πρώτιστον ὑπηνέμιον Νὺξ ἡ μελανόπτερος ᾠόν, | ἐξ οὗ περιτελλομέναις ὥραις ἔβλαστεν Ἔρως ὁ ποθεινός, | στίλβων νῶτον*

